Praxagora returns, has the women shed their disguises, and keeps them as her counselors. Blepyrus demands to know where she has been with his cloak; she claims she was called out to a friend in labor. He reports that the city has been given to the women, and she welcomes it, promising that thieves, informers, and perjurers will be finished. She undertakes to prove it, so that the neighbor will bear her out and her husband have nothing to say against her.

ΠΡΑΞΑΓΟΡΑ ταυτὶ μὲν ἡμῖν ὦ γυναῖκες εὐτυχῶς
these-things indeed for-us O women successfully
τὰ πράγματ' ἐκβέβηκεν ἀβουλεύσαμεν.
the affairs have-turned-out which-we-planned
ἀλλ' ὡς τάχιστα πρίν τιν' ἀνθρώπων ἰδεῖν,
but as quickly-as-possible before any of-men to-see
ῥίπτεῖτε χλαίνας, ἐμβὰς ἐκποδὼν ἴτω,
throw-off cloaks shoe out-of-the-way let-it-go
χάλα συναπτοὺς ἡνίας Λακωνικάς,
loosen the-tied-on straps Laconian
βακτηρίας ἄφεσθε. καὶ μέντοι σὺ μὲν
sticks put-away and however you indeed
ταύτας κατευτρέπιζ', ἐγὼ δὲ βούλομαι
these set-in-order I and wish
εἴσω παρερπύσασα πρὶν τὸν ἄνδρα με
inside having-crept before the husband me
ἰδεῖν, καταθέσθαι θοἰμάτιον αὐτοῦ πάλιν
to-see to-put-down the-cloak his back
ὅθενπερ ἔλαβον τἄλλα θ' ἁξηνεγκάμην.
whence-indeed I-took-it the-other-things and which-I-brought-out

ΧΟΡΟΣ κεῖται καὶ δὴ πάνθ' ἅπερ εἶπας,
lies-there and indeed all-things which you-said
σὸν δ' ἔργον τἄλλα διδάσκειν,
your and work the-rest to-teach
ὅ τί σοι δρῶσαι ξύμφορον ἡμεῖς
what thing to-you doing useful we
δόξομεν ὀρθῶς ὑπακούειν.
will-seem rightly to-obey
οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμείξασ' οἶδα γυναικί.
with-no for cleverer than-you having-mingled I-know woman
ΠΡΑΞΑΓΟΡΑ περιμείνατέ νυν, ἵνα τῆς ἀρχῆς
wait now so-that for-the office
ἣν ἄρτι κεχειροτόνημαι,
which just-now I-have-been-elected-to
ξυμβούλοισιν πάσαις ὑμῖν χρήσωμαι. καὶ γὰρ ἐκεῖ μοι
as-counselors all you I-may-use and for there to-me
ἐν τῷ θορύβῳ καὶ τοῖς δεινοῖς ἀνδρειόταται γεγένησθε.
in the uproar and the dangers bravest you-have-been
ΒΛΕΠΥΡΟΣ αὕτη πόθεν ἥκεις Πραξαγόρα;
you whence come-you Praxagora
ΠΡΑΞΑΓΟΡΑ τί δ' ὦ μέλε
what and O friend
σοὶ τοῦθ'; ΒΛΕΠΥΡΟΣ ὅ τί μοι τοῦτ' ἔστιν; ὡς εὐηθικῶς.
to-you this what thing to-me this is how foolishly

ΠΡΑΞΑΓΟΡΑ οὔτοι παρὰ τοῦ μοιχοῦ γε φήσεις.
surely-not from the adulterer at-least you-will-say
ΒΛΕΠΤΡΟΣ οὐκ ἴσως
not perhaps
ἑνός γε. ΠΡΑΞΑΓΟΡΑ καὶ μὴν βασανίσαι τουτί γέ σοι
from-one at-least and truly to-test this-here at-least for-you
ἔξεστι. ΒΛΕΠΤΡΟΣ πῶς; ΠΡΑΞΑΓΟΡΑ εἰ τῆς κεφαλῆς ὄζω μύρου.
it-is-possible how if of-the head I-smell of-perfume
525 ΒΛΕΠΤΡΟΣ τί δ'; οὐχὶ βινεῖται γυνὴ κἄνευ μύρου;
what and not is-screwed a-woman even-without perfume
ΠΡΑΞΑΓΟΡΑ οὐ δῆτα τάλαν ἔγωγε. ΒΛΕΠΤΡΟΣ πῶς οὖν ὄρθριον
not then wretched-man I-at-least how then early
ᾤχου σιωπῇ θοἰμάτιον λαβοῦσά μου;
went-you in-silence the-cloak having-taken my
ΠΡΑΞΑΓΟΡΑ γυνή μέ τις νύκτωρ ἑταίρα καὶ φίλη
a-woman me some by-night a-companion and friend
μετεπέμψατ' ὠδίνουσα. ΒΛΕΠΤΡΟΣ κᾆτ' οὐκ ἦν ἐμοὶ
sent-for being-in-labor and-then not it-was-possible-for me
530 φράσασαν ἰέναι; ΠΡΑΞΑΓΟΡΑ τῆς λεχοῦς δ' οὐ φροντίσαι
having-told to-go of-the woman-in-childbed and not to-care
οὕτως ἐχούσης ὦνερ; ΒΛΕΠΤΡΟΣ εἰποῦσάν γέ μοι.
so faring O-husband having-told at-least me
ἀλλ' ἔστιν ἐνταῦθά τι κακόν. ΠΡΑΞΑΓΟΡΑ μὰ τὼ θεὼ
but there-is there some mischief by the two-goddesses
ἀλλ' ὥσπερ εἶχον ᾠχόμην· ἐδεῖτο δὲ
but as I-was I-went she-begged and
ἥπερ μεθῆκέ μ' ἐξιέναι πάσῃ τέχνῃ.
who-indeed sent-for me to-come by-every means

ΒΛΕΠΥΡΟΣ εἶτ᾽ οὐ τὸ σαυτῆς ἱμάτιον ἐχρῆν σ᾽ ἔχειν; 535
then not the of-yourself cloak it-was-needful you to-have
ἀλλ᾽ ἔμ᾽ ἀποδύσασ᾽ ἐπιβαλοῦσα τοὔγκυκλον
but me having-stripped having-thrown-on the-wrap
ᾤχου καταλιποῦσ᾽ ὡσπερεὶ προκείμενον,
you-went having-left-me like laid-out
μόνον οὐ στεφανώσασ᾽ οὐδ᾽ ἐπιθεῖσα λήκυθον.
only not having-crowned nor having-set-on an-oil-flask
ΠΡΑΞΑΓΟΡΑ ψῦχος γὰρ ἦν, ἐγὼ δὲ λεπτὴ κἀσθενής·
cold for it-was I and thin and-weak
ἔπειθ᾽ ἵν᾽ ἀλεαίνοιμι, τοῦτ᾽ ἠμπεσχόμην· 540
then so-that I-might-keep-warm this I-put-on
σὲ δ᾽ ἐν ἀλέᾳ κατακείμενον καὶ στρώμασιν
you and in warmth lying and bedclothes
κατέλιπον ὦνερ. ΒΛΕΠΥΡΟΣ αἱ δὲ δὴ Λακωνικαὶ
I-left O-husband the and indeed Laconian-shoes
ᾤχοντο μετὰ σοῦ κατὰ τί χὴ βακτηρία;
went with you for what and-the stick
ΠΡΑΞΑΓΟΡΑ ἵνα θοἰμάτιον σώσαιμι, μεθυπεδησάμην
so-that the-cloak I-might-save I-changed-shoes
μιμουμένη σε καὶ κτυποῦσα τοῖν ποδοῖν 545
imitating you and stamping with-the two-feet
καὶ τοὺς λίθους παίουσα τῇ βακτηρίᾳ.
and the stones striking with-the stick
ΒΛΕΠΥΡΟΣ οἶσθ᾽ οὖν ἀπολωλεκυῖα πυρῶν ἑκτέα,
know-you then having-lost of-wheat a-sixth
ὃν χρῆν ἔμ᾽ ἐξ ἐκκλησίας εἰληφέναι;
which it-was-needful me from assembly to-have-received
ΠΡΑΞΑΓΟΡΑ μὴ φροντίσῃς· ἄρρεν γὰρ ἔτεκε παιδίον.
not worry male for she-bore a-child

ΒΔΕΛΥΚΛΕΩΝ ἠκκλησία; ΠΡΑΞΑΓΟΡΑ μὰ Δί᾽ ἀλλ᾽ ἐφ᾽ ἣν ἐγὼχόμην.
the-assembly by Zeus but to which I-went

ἀτὰρ γεγένηται; ΒΔΕΛΥΚΛΕΩΝ ναὶ μὰ Δί᾽. οὐκ ᾔδησθά με
but has-it-happened yes by Zeus not did-you-know me

φράσαντά σοι χθές; ΠΡΑΞΑΓΟΡΑ ἄρτι γ᾽ ἀναμιμνῄσκομαι.
having-told you yesterday just-now at-least I-remember

ΒΔΕΛΥΚΛΕΩΝ οὐδ᾽ ἄρα τὰ δόξαντ᾽ οἶσθα;
nor then the resolved-things do-you-know

ΠΡΑΞΑΓΟΡΑ μὰ Δί᾽ ἐγὼ μὲν οὔ.
by Zeus I indeed not

ΒΔΕΛΥΚΛΕΩΝ κάθησο τοίνυν σηπίας μασωμένη.
sit well-then cuttlefish chewing

ὑμῖν δέ φασι παραδεδόσθαι τὴν πόλιν.
to-you and they-say has-been-handed-over the city

ΠΡΑΞΑΓΟΡΑ τί δρᾶν; ὑφαίνειν;
what to-do to-weave

ΒΔΕΛΥΚΛΕΩΝ οὐ μὰ Δί᾽ ἀλλ᾽ ἄρχειν. ΠΡΑΞΑΓΟΡΑ τίνων;
not by Zeus but to-rule of-what

ΒΔΕΛΥΚΛΕΩΝ ἁπαξαπάντων τῶν κατὰ πόλιν πραγμάτων.
of-all-together of-the in city affairs

ΠΡΑΞΑΓΟΡΑ νὴ τὴν Ἀφροδίτην μακαρία γ᾽ ἄρ᾽ ἡ πόλις
by — Aphrodite blessed at-least then the city

ἔσται τὸ λοιπόν. ΒΔΕΛΥΚΛΕΩΝ κατὰ τί; ΠΡΑΞΑΓΟΡΑ πολλῶν οὕνεκα.
will-be the rest for what of-many for-the-sake

οὐ γὰρ ἔτι τοῖς τολμῶσιν αὐτὴν αἰσχρὰ δρᾶν
not for any-longer for-those daring her shameful-things to-do

ἔσται τὸ λοιπόν, οὐδαμοῦ δὲ μαρτυρεῖν,
will-be the rest nowhere and to-give-evidence

οὐ συκοφαντεῖν — ΒΛΕΠΤΡΟΣ μηδαμῶς πρὸς τῶν θεῶν
not to-play-the-sycophant in-no-way by the gods
τουτὶ ποιήσῃς μηδ' ἀφέλῃ μου τὸν βίον.
this-here do nor take-away my the living
ΑΝΗΡ ὦ δαιμόνι' ἀνδρῶν τὴν γυναῖκ' ἔα λέγειν.
O strange-one of-men the wife let to-speak
ΠΡΑΞΑΓΟΡΑ μὴ λωποδυτῆσαι, μὴ φθονεῖν τοῖς πλησίον, 565
not to-steal-clothes not to-envy those near
μὴ γυμνὸν εἶναι μὴ πένητα μηδένα,
not naked to-be not poor anyone
μὴ λοιδορεῖσθαι, μὴ 'νεχυραζόμενον φέρειν.
not to-be-reviled not distrained-on to-endure
ΑΝΗΡ νὴ τὸν Ποσειδῶ μεγάλα γ', εἰ μὴ ψεύσεται.
by — Poseidon great-things at-least if not she-will-lie
ΠΡΑΞΑΓΟΡΑ ἀλλ' ἀποφανῶ τοῦθ', ὥστε σέ τέ μοι μαρτυρεῖν
but I-will-show this so-that you both me to-bear-witness
καὶ τοῦτον αὐτὸν μηδὲν ἀντειπεῖν ἐμοι. 570
and this-man himself nothing to-contradict me

Praxagora sets out her new order: all goods held in common and everyone living from one store, so that there will be no rich and no poor. Women and men will be common too, the plain and the ugly to be served before the fair, and children will take every older man for their father. She leaves to take charge of the collection, and a citizen resolves to bring out his property.

ΧΟΡΟΣ νῦν δὴ δεῖ σε πυκνὴν
now indeed it-is-needful you a-shrewd
φρένα καὶ φιλόσοφον ἐγείρειν
mind and philosophic to-rouse
φροντίδ' ἐπισταμένην
a-thought knowing
ταῖσι φίλαισιν ἀμύνειν.
for-the friends to-defend
καινὴ γὰρ ἐπ' εὐτυχίαισιν
new for upon good-fortunes
ἔρχεται γλώττης ἐπίνοια πολίτην
comes of-tongue a-device citizen
575 δῆμον ἐπαγλαϊοῦσα
people going-to-glorify
μυρίαισιν ὠφελίαισι βίου· δηλοῦν δ'
with-countless benefits of-life to-show and
ὅ τί περ δύνασαι καιρός.
what thing indeed you-can time
δεῖται γάρ τοι σοφοῦ τινος ἐξευρήματος ἡ πόλις ἡμῶν.
needs for surely clever some invention the city our
ἀλλὰ πέραινε μόνον
but accomplish only

μήτε δεδραμένα μήτ᾽ εἰρημένα πω πρότερον·
neither done nor spoken yet before

μισοῦσι γὰρ ἢν τὰ παλαιὰ πολλάκις θεῶνται. 580
they-hate for if the old-things often they-see

ἀλλ᾽ οὐ μέλλειν, ἀλλ᾽ ἅπτεσθαι καὶ δὴ
but not to-delay but to-lay-hold-of and indeed

χρῆν ταῖς διανοίαις,
it-was-needful the plans

ὡς τὸ ταχύνειν χαρίτων μετέχει
since the speed of-favors shares

πλεῖστον παρὰ τοῖσι θεαταῖς.
most among the spectators

ΠΡΑΞΑΓΟΡΑ καὶ μὴν ὅτι μὲν χρηστὰ
and truly that indeed good-things

διδάξω πιστεύω· τοὺς δὲ θεατάς,
I-shall-teach I-trust the and spectators

εἰ καινοτομεῖν ἐθελήσουσιν καὶ μὴ τοῖς ἠθάσι λίαν
whether to-innovate they-will-be-willing and not with-the customary too-much

τοῖς τ᾽ ἀρχαίοις ἐνδιατρίβειν, τοῦτ᾽ ἔσθ᾽ ὃ μάλιστα δέδοικα. 585
the and old to-linger this is what most I-fear

ΒΛΕΠΥΡΟΣ περὶ μὲν τοίνυν τοῦ καινοτομεῖν
about indeed well-then the to-innovate

μὴ δείσῃς· τοῦτο γὰρ ἡμῖν
not fear this for to-us

δρᾶν ἀντ᾽ ἄλλης ἀρχῆς ἐστιν, τῶν δ᾽ ἀρχαίων ἀμελῆσαι.
to-do instead-of other rule is the and old to-neglect

ΠΡΑΞΑΓΟΡΑ μή νυν πρότερον μηδεὶς ὑμῶν
not now before none of-you
ἀντείπῃ μηδ' ὑποκρούσῃ,
contradict nor interrupt
πρὶν ἐπίστασθαι τὴν ἐπίνοιαν καὶ τοῦ φράζοντος ἀκοῦσαι.
before to-understand the device and the speaker to-hear
590 κοινωνεῖν γὰρ πάντας φήσω χρῆναι πάντων μετέχοντας
to-share for all I-shall-say it-is-needful all-things partaking
κἀκ ταὐτοῦ ζῆν, καὶ μὴ τὸν μὲν πλουτεῖν,
and-from the-same to-live and not the-one indeed to-be-rich
τὸν δ' ἄθλιον εἶναι,
the-other and wretched to-be
μηδὲ γεωργεῖν τὸν μὲν πολλήν,
nor to-farm the-one indeed much
τῷ δ' εἶναι μηδὲ ταφῆναι,
for-the-other and to-be not-even to-be-buried
μηδ' ἀνδραπόδοις τὸν μὲν χρῆσθαι πολλοῖς,
nor slaves the-one indeed to-use many
τὸν δ' οὐδ' ἀκολούθῳ·
the-other and not-even an-attendant
ἀλλ' ἕνα ποιῶ κοινὸν πᾶσιν βίοτον καὶ τοῦτον ὅμοιον.
but one I-make common for-all livelihood and this alike
595 ΒΛΕΠΥΡΟΣ πῶς οὖν ἔσται κοινὸς ἅπασιν;
how then will-it-be common for-all
ΠΡΑΞΑΓΟΡΑ κατέδει πέλεθον πρότερός μου.
you-will-eat dung before me

ΒΛΕΠΤΡΟΣ καὶ τῶν πελέθων κοινωνοῦμεν;
also the dung do-we-share

ΠΡΑΞΑΓΟΡΑ μὰ Δί᾽ ἀλλ᾽ ἔφθης μ᾽ ὑποκρούσας.
by Zeus but you-anticipated me interrupting

τοῦτο γὰρ ἤμελλον ἐγὼ λέξειν· τὴν γῆν πρώτιστα ποιήσω
this for was-about I to-say the land first-of-all I-shall-make
κοινὴν πάντων καὶ τἀργύριον καὶ τἄλλ᾽
common of-all and the-money and the-rest
ὁπόσ᾽ ἐστὶν ἑκάστῳ.
as-much-as is to-each
εἶτ᾽ ἀπὸ τούτων κοινῶν ὄντων ἡμεῖς βοσκήσομεν ὑμᾶς
then from these common being we will-feed you
ταμιευόμεναι καὶ φειδόμεναι καὶ τὴν γνώμην προσέχουσαι. 600
managing and sparing and the judgment applying

ΒΛΕΠΤΡΟΣ πῶς οὖν ὅστις μὴ κέκτηται γῆν ἡμῶν, ἀργύριον δὲ
how then whoever not has-acquired land of-us money and
καὶ Δαρεικοὺς ἀφανῆ πλοῦτον;
and Darics invisible wealth

ΠΡΑΞΑΓΟΡΑ τοῦτ᾽ ἐς τὸ μέσον καταθήσει.
this into the middle will-put-down
καὶ μὴ καταθεὶς ψευδορκήσει.
and not having-put-down will-forswear-himself

ΒΛΕΠΤΡΟΣ κἀκτήσατο γὰρ διὰ τοῦτο.
and-he-acquired for through this

ΠΡΑΞΑΓΟΡΑ ἀλλ᾽ οὐδέν τοι χρήσιμον ἔσται πάντως αὐτῷ.
but nothing surely useful will-be at-all to-him

ΒΛΕΠΤΡΟΣ κατὰ δὴ τί;
for indeed what

ΠΡΑΞΑΓΟΡΑ οὐδεὶς οὐδὲν πενίᾳ δράσει·
no-one nothing from-poverty will-do
πάντα γὰρ ἕξουσιν ἅπαντες,
all-things for will-have all
ἄρτους τεμάχη μάζας χλαίνας οἶνον στεφάνους ἐρεβίνθους.
loaves slices barley-cakes cloaks wine garlands chickpeas
ὥστε τί κέρδος μὴ καταθεῖναι; σὺ γὰρ ἐξευρὼν ἀπόδειξον.
so-that what gain not to-put-down you for having-found-it show-me
ΒΛΕΠΤΡΟΣ οὔκουν καὶ νῦν οὗτοι μᾶλλον κλέπτουσ'
not-then even now these more steal
οἷς ταῦτα πάρεστιν;
to-whom these-things are-at-hand
ΠΡΑΞΑΓΟΡΑ πρότερόν γ' ὦταῖρ' ὅτε τοῖσι
before at-least O-friend when the
νόμοις διεχρώμεθα τοῖς προτέροισιν·
laws we-used the former
νῦν δ' ἔσται γὰρ βίος ἐκ κοινοῦ,
now and will-be for livelihood from common
τί τὸ κέρδος μὴ καταθεῖναι;
what the gain not to-put-down
ΒΛΕΠΤΡΟΣ ἢν μείρακ' ἰδὼν ἐπιθυμήσῃ
if a-girl having-seen he-desire
καὶ βούληται σκαλαθῦραι,
and wish to-poke
ἕξει τούτων ἀφελὼν δοῦναι,
he-will-have from-these having-taken to-give
τῶν ἐκ κοινοῦ δὲ μεθέξει
of-the-things from common and he-will-share

ξυγκαταδαρθών. ΠΡΑΞΑΓΟΡΑ ἀλλ' ἐξέσται
having-slept-with *but* *it-will-be-possible*
προῖκ' αὐτῷ ξυγκαταδαρθεῖν.
free *for-him* *to-sleep-with*
καὶ ταύτας γὰρ κοινὰς ποιῶ τοῖς ἀνδράσι συγκατακεῖσθαι
and *these* *for* *common* *I-make* *for-the* *men* *to-lie-with*
καὶ παιδοποιεῖν τῷ βουλομένῳ. 615
and *to-beget* *for-the-one* *wishing*
ΒΛΕΠΤΡΟΣ πῶς οὖν οὐ πάντες ἴασιν
how *then* *not* *all* *will-go*
ἐπὶ τὴν ὡραιοτάτην αὐτῶν καὶ ζητήσουσιν ἐρείδειν;
to *the* *most-blooming* *of-them* *and* *will-seek* *to-thrust*
ΠΡΑΞΑΓΟΡΑ αἱ φαυλότεραι καὶ σιμότεραι
the *plainer* *and* *snub-nosed*
παρὰ τὰς σεμνὰς καθεδοῦνται·
beside *the* *stately* *will-sit*
κᾆτ' ἢν ταύτης ἐπιθυμήσῃ, τὴν αἰσχρὰν πρῶθ' ὑποκρούσει.
and-then *if* *this-one* *he-desire* *the* *ugly-one* *first* *he-will-strike*
ΒΛΕΠΤΡΟΣ καὶ πῶς ἡμᾶς τοὺς πρεσβύτας,
and *how* *us* *the* *old*
ἢν ταῖς αἰσχραῖσι συνῶμεν,
if *with-the* *ugly* *we-consort*
οὐκ ἐπιλείψει τὸ πέος πρότερον πρὶν 620
not *will-fail* *the* *cock* *before* *ere*
ἐκεῖσ' οἷ φῂς ἀφικέσθαι;
there *where* *you-say* *to-arrive*
ΠΡΑΞΑΓΟΡΑ οὐχὶ μαχοῦνται· περὶ σοῦ θάρρει·
not *will-fight* *about* *you* *take-courage*
μὴ δείσῃς· οὐχὶ μαχοῦνται.
not *fear* *not* *will-fight*

ΒΛΕΠΥΡΟΣ περὶ τοῦ; ΠΡΑΞΑΓΟΡΑ τοῦ μὴ ξυγκαταδαρθεῖν.
about what of-the not to-sleep-with
καὶ σοὶ τοιοῦτον ὑπάρχει.
also to-you such belongs
ΒΛΕΠΥΡΟΣ τὸ μὲν ὑμέτερον γνώμην τιν᾽ ἔχει·
the indeed your judgment some has
προβεβούλευται γάρ, ὅπως ἂν
has-been-planned for that —
μηδεμιᾶς ᾖ τρύπημα κενόν· τὸ δὲ τῶν ἀνδρῶν τί ποιήσει;
of-none be a-hole empty the and of-the men what will-it-do
φεύξονται γὰρ τοὺς αἰσχίους, ἐπὶ τοὺς δὲ καλοὺς βαδιοῦνται.
they-will-flee for the uglier to the and handsome will-go
ΠΡΑΞΑΓΟΡΑ ἀλλὰ φυλάξουσ᾽ οἱ φαυλότεροι
but will-watch the plainer
τοὺς καλλίους ἀπιόντας
the handsomer going-away
ἀπὸ τοῦ δείπνου καὶ τηρήσουσ᾽ ἐπὶ τοῖσιν δημοσίοισιν·
from the dinner and will-watch-for at the public-places
κοὐκ ἐξέσται παρὰ τοῖσι καλοῖς
and-not it-will-be-possible beside the handsome
καὶ τοῖς μεγάλοις καταδαρθεῖν
and the tall to-sleep
ταῖσι γυναιξὶ πρὶν ἂν τοῖς αἰσχροῖς
for-the women before — to-the ugly
καὶ τοῖς μικροῖς χαρίσωνται.
and the small they-grant-favors
ΒΛΕΠΥΡΟΣ ἡ Λυσικράτους ἄρα νυνὶ ῥὶς
the of-Lysicrates then now nose
ἴσα τοῖσι καλοῖσι φρονήσει.
equal to-the handsome will-think

ΠΡΑΞΑΓΟΡΑ νὴ τὸν Ἀπόλλω καὶ δημοτική γ'
by — Apollo also democratic at-least
ἡ γνώμη καὶ καταχήνη
the plan and mockery
τῶν σεμνοτέρων ἔσται πολλὴ καὶ τῶν σφραγῖδας ἐχόντων,
of-the more-stately will-be much and of-those seal-rings having
ὅταν ἐμβάδ' ἔχων εἴπῃ πρότερος, "παραχώρει κᾆτ' ἐπιτήρει,
when shoes having say first yield and-then watch
ὅταν ἤδη 'γὼ διαπραξάμενος παραδῶ σοι δευτεριάζειν."
when now I having-finished hand-over to-you to-take-second-turn
ΒΛΕΠΥΡΟΣ πῶς οὖν οὕτω ζώντων ἡμῶν
how then so living us
τοὺς αὑτοῦ παῖδας ἕκαστος
the his-own children each
ἔσται δυνατὸς διαγιγνώσκειν;
will-be able to-distinguish
ΠΡΑΞΑΓΟΡΑ τί δὲ δεῖ; πατέρας γὰρ ἅπαντας
what and is-needed fathers for all
τοὺς πρεσβυτέρους αὑτῶν εἶναι
the older than-themselves to-be
τοῖσι χρόνοισιν νομιοῦσιν.
by-the times they-will-consider
ΒΛΕΠΥΡΟΣ οὐκοῦν ἄγξουσ' εὖ καὶ χρηστῶς
therefore they-will-strangle well and soundly
ἑξῆς τὸν πάντα γέροντα
in-order the every old-man
διὰ τὴν ἄγνοιαν, ἐπεὶ καὶ νῦν γιγνώσκοντες πατέρ' ὄντα
through the ignorance since even now knowing father being
ἄγχουσι. τί δῆθ' ὅταν ἀγνὼς ᾖ; πῶς οὐ τότε κἀπιχεσοῦνται;
they-strangle what then when unknown he-is how not then and-will-shit-on

ΠΡΑΞΑΓΟΡΑ ἀλλ᾽ ὁ παρεστὼς οὐκ ἐπιτρέψει·
but the bystander not will-allow
τότε δ᾽ αὐτοῖς οὐκ ἔμελ᾽ οὐδὲν
then and to-them not mattered nothing
τῶν ἀλλοτρίων ὅστις τύπτοι· νῦν δ᾽ ἢν πληγέντος ἀκούσῃ,
the of-others whoever struck now and if of-one-struck he-hear
μὴ αὐτὸν ἐκεῖνον τύπτῃ δεδιὼς τοῖς δρῶσιν τοῦτο μαχεῖται.
lest himself that-one he-strike fearing with-those doing this he-will-fight
ΒΔΕΛΥΡΟΣ τὰ μὲν ἄλλα λέγεις οὐδὲν
the indeed other-things you-say nothing
σκαιῶς· εἰ δὲ προσελθὼν Ἐπίκουρος
clumsily if and coming-up Epicurus
ἢ Λευκολόφας πάππαν με καλεῖ, τοῦτ᾽ ἤδη δεινὸν ἀκοῦσαι.
or Leucolophas papa me calls this already terrible to-hear
ΠΡΑΞΑΓΟΡΑ πολὺ μέντοι δεινότερον τούτου
much however more-terrible than-this
τοῦ πράγματός ἐστι, ΒΔΕΛΥΡΟΣ τὸ ποῖον;
the thing is the what-kind
ΠΡΑΞΑΓΟΡΑ εἴ σε φιλήσειεν Ἀρίστυλλος
if you should-kiss Aristyllus
φάσκων αὑτοῦ πατέρ᾽ εἶναι.
saying his-own father to-be
ΒΔΕΛΥΡΟΣ οἰμώζοι γ᾽ ἂν καὶ κωκύοι.
he-would-howl at-least — and would-wail
ΠΡΑΞΑΓΟΡΑ σὺ δέ γ᾽ ὄζοις ἂν καλαμίνθης,
you and at-least would-smell — of-mint
ἀλλ᾽ οὗτος μὲν πρότερον γέγονεν πρὶν τὸ ψήφισμα γενέσθαι,
but this-one indeed earlier was-born before the decree to-happen

ὥστ᾽ οὐχὶ δέος μή σε φιλήσῃ. 650
so-that not fear lest you he-kiss

ΒΛΕΠΤΡΟΣ δεινὸν μέντἂν ἐπεπόνθη.
terribly however-would I-had-suffered

τὴν γῆν δὲ τίς ἔσθ᾽ ὁ γεωργήσων; ΠΡΑΞΑΓΟΡΑ οἱ δοῦλοι.
the land and who is the-one going-to-farm the slaves

σοὶ δὲ μελήσει,
for-you and will-be-a-care

ὅταν ᾖ δεκάπουν τὸ στοιχεῖον, λιπαρὸν χωρεῖν ἐπὶ δεῖπνον.
when be ten-foot the shadow sleek to-go to dinner

ΒΛΕΠΤΡΟΣ περὶ δ᾽ ἱματίων τίς πόρος ἔσται;
about and cloaks what provision will-be

καὶ γὰρ τοῦτ᾽ ἔστιν ἐρέσθαι.
also for this is to-ask

ΠΡΑΞΑΓΟΡΑ τὰ μὲν ὄνθ᾽ ὑμῖν πρῶτον ὑπάρξει,
the indeed existing to-you first will-be-at-hand

τὰ δὲ λοίφ᾽ ἡμεῖς ὑφανοῦμεν.
the and rest we will-weave

ΒΛΕΠΤΡΟΣ ἓν ἔτι ζητῶ· πῶς ἤν τις ὄφλῃ 655
one-thing still I-seek how if anyone lose

παρὰ τοῖς ἄρχουσι δίκην τῳ,
before the magistrates a-suit to-someone

πόθεν ἐκτείσει ταύτην; οὐ γὰρ τῶν κοινῶν γ᾽ ἐστὶ δίκαιον.
whence will-he-pay this not for of-the common at-least is just

ΠΡΑΞΑΓΟΡΑ ἀλλ᾽ οὐδὲ δίκαι᾽ πρῶτον ἔσονται.
but not-even suits first will-there-be

ΒΛΕΠΤΡΟΣ τουτὶ τοὔπος σ᾽ ἐπιτρίψει.
this-here the-word you will-ruin

ΠΡΑΞΑΓΟΡΑ κἀγὼ ταύτην γνώμην ἐθέμην·
and-I this opinion held
τοῦ γὰρ τάλαν οὕνεκ' ἔσονται;
for-what for wretch for-the-sake-of will-there-be
ΒΛΕΠΤΡΟΣ πολλῶν οὕνεκα νὴ τὸν Ἀπόλλω·
many for-the-sake-of by — Apollo
πρῶτον δ' ἑνὸς οὕνεκα δήπου,
first and of-one for-the-sake surely
ἤν τις ὀφείλων ἐξαρνῆται.
if any owing deny
ΠΡΑΞΑΓΟΡΑ πόθεν οὖν ἐδάνεισ' ὁ δανείσας
whence then lent the lender
ἐν τῷ κοινῷ πάντων ὄντων; κλέπτων δήπου 'στ' ἐπίδηλος.
in the common all being stealing surely is manifest
ΒΛΕΠΤΡΟΣ νὴ τὴν Δήμητρ' εὖ γε διδάσκεις.
by — Demeter well at-least you-teach
τουτὶ τοίνυν φρασάτω μοι,
this-here well-then let-tell me
τῆς αἰκείας οἱ τύπτοντες πόθεν ἐκτείσουσιν, ἐπειδὰν
for-the assault those striking whence will-they-pay when
εὐωχηθέντες ὑβρίζωσιν; τοῦτο γὰρ οἶμαί σ' ἀπορήσειν.
having-feasted they-commit-outrage this for I-think you to-be-at-a-loss
ΠΡΑΞΑΓΟΡΑ ἀπὸ τῆς μάζης ἧς σιτεῖται·
from the barley-cake which he-eats
ταύτης γὰρ ὅταν τις ἀφαιρῇ,
this for when one takes-away
οὐχ ὑβριεῖται φαύλως οὕτως αὖθις τῇ γαστρὶ κολασθείς.
not he-will-outrage lightly so again with-the belly punished

ΒΛΕΠΥΡΟΣ οὐδ᾽ αὖ κλέπτης οὐδεὶς ἔσται;
nor in-turn thief no-one will-be

ΠΡΑΞΑΓΟΡΑ πῶς γὰρ κλέψει μετὸν αὐτῷ;
how for will-be-steal there-being-a-share to-him

ΒΛΕΠΥΡΟΣ οὐδ᾽ ἀποδύσουσ᾽ ἄρα τῶν νυκτῶν;
nor will-they-strip then of-the nights

ΠΡΑΞΑΓΟΡΑ οὐκ ἦν οἴκοι γε καθεύδῃς,
not if at-home at-least you-sleep

οὐδ᾽ ἤν γε θύραζ᾽ ὥσπερ πρότερον;
nor if at-least out-of-doors as before

βίοτος γὰρ πᾶσιν ὑπάρξει.
living for to-all will-be-at-hand

ἢν δ᾽ ἀποδύῃ γ᾽, αὐτὸς δώσει. 670
if and he-strip at-least himself he-will-give

τί γὰρ αὐτῷ πρᾶγμα μάχεσθαι;
what for to-him business to-fight

ἕτερον γὰρ ἰὼν ἐκ τοῦ κοινοῦ κρεῖττον ἐκείνου κομιεῖται.
another for going from the common better than-that will-get

ΒΛΕΠΥΡΟΣ οὐδὲ κυβεύσουσ᾽ ἆρ᾽ ἄνθρωποι;
nor will-dice — men

ΠΡΑΞΑΓΟΡΑ περὶ τοῦ γὰρ τοῦτο ποιήσει;
about what for this will-he-do

ΒΛΕΠΥΡΟΣ τὴν δὲ δίαιταν τίνα ποιήσεις;
the and way-of-life what will-you-make

ΠΡΑΞΑΓΟΡΑ κοινὴν πᾶσιν. τὸ γὰρ ἄστυ
common to-all the for town

μίαν οἴκησίν φημι ποιήσειν συρρήξασ᾽ εἰς ἓν ἅπαντα,
one dwelling I-say I-shall-make having-broken-through into one all

675 ὥστε βαδίζειν ὡς ἀλλήλους.
so-that to-walk to one-another

ΒΔΕΛΥΡΟΣ τὸ δὲ δεῖπνον ποῦ παραθήσεις;
the and dinner where will-you-serve

ΠΡΑΞΑΓΟΡΑ τὰ δικαστήρια καὶ τὰς στοιὰς
the courts and the porticoes

ἀνδρῶνας πάντα ποιήσω.
men's-halls all I-shall-make

ΒΔΕΛΥΡΟΣ τὸ δὲ βῆμα τί σοι χρήσιμον ἔσται;
the and speaker's-stand what for-you useful will-be

ΠΡΑΞΑΓΟΡΑ τοὺς κρατῆρας καταθήσω
the mixing-bowls I-shall-set

καὶ τὰς ὑδρίας, καὶ ῥαψῳδεῖν ἔσται τοῖς παιδαρίοισιν
and the water-jars and to-recite will-be for-the little-boys

680 τοὺς ἀνδρείους ἐν τῷ πολέμῳ, κεἴ τις δειλὸς γεγένηται,
the brave in the war and-if someone coward has-been

ἵνα μὴ δειπνῶσ' αἰσχυνόμενοι.
so-that not they-dine being-ashamed

ΒΔΕΛΥΡΟΣ νὴ τὸν Ἀπόλλω χάριέν γε.
by — Apollo charming at-least

τὰ δὲ κληρωτήρια ποῖ τρέψεις;
the and allotment-machines where will-you-turn

ΠΡΑΞΑΓΟΡΑ εἰς τὴν ἀγορὰν καταθήσω·
into the market I-shall-set-them

κᾆτα στήσασα παρ' Ἁρμοδίῳ κληρώσω πάντας, ἕως ἂν
and-then having-stood-them by Harmodius I-shall-allot all until —

εἰδὼς ὁ λαχὼν ἀπίῃ χαίρων ἐν ὁποίῳ γράμματι δειπνεῖ·
knowing the allotted may-go-away rejoicing in what-kind letter he-dines

καὶ κηρύξει τοὺς ἐκ τοῦ βῆτ' ἐπὶ τὴν στοιὰν ἀκολουθεῖν
and will-proclaim the from the Beta to the portico to-follow

τὴν βασίλειον δειπνήσοντας· τὸ δὲ θῆτ' ἐς τὴν παρὰ ταύτην,
the royal going-to-dine the and Theta to the beside this

τοὺς δ' ἐκ τοῦ κάππ' ἐς τὴν στοιὰν
those and from the Kappa to the portico

χωρεῖν τὴν ἀλφιτόπωλιν.
to-go the barley-market

ΒΛΕΠΥΡΟΣ ἵνα κάπτωσιν;
so-that they-may-gulp

ΠΡΑΞΑΓΟΡΑ μὰ Δί' ἀλλ' ἵν' ἐκεῖ δειπνῶσιν.
by Zeus but so-that there they-may-dine

ΒΛΕΠΥΡΟΣ ὅτῳ δὲ τὸ γράμμα
to-whom and the letter

μὴ 'ξελκυσθῇ καθ' ὃ δειπνήσει, τούτους ἀπελῶσιν ἅπαντες.
not be-drawn by which he-will-dine these will-drive-away all

ΠΡΑΞΑΓΟΡΑ ἀλλ' οὐκ ἔσται τοῦτο παρ' ἡμῖν·
but not will-be this with us

πᾶσι γὰρ ἄφθονα πάντα παρέξομεν,
to-all for ungrudging all-things we-shall-provide

ὥστε μεθυσθεὶς αὐτῷ στεφάνῳ
so-that drunk with-the-very garland

πᾶς τις ἄπεισιν τὴν δᾷδα λαβών.
every one will-go-away the torch having-taken

αἱ δὲ γυναῖκες κατὰ τὰς διόδους
the and women along the passages

προσπίπτουσαι τοῖς ἀπὸ δείπνου
falling-upon those from dinner

τάδε λέξουσιν· "δεῦρο παρ' ἡμᾶς·
these-things will-say here to us

ἐνθάδε μεῖράξ ἐσθ' ὡραία."
here a-girl is lovely

"παρ' ἐμοὶ δ' ἑτέρα"
with me and another
φήσει τις ἄνωθ' ἐξ ὑπερῴου,
will-say someone from-above from upper-room
"καὶ καλλίστη καὶ λευκοτάτη·
both most-beautiful and whitest
πρότερον μέντοι δεῖ σε καθεύδειν
before however it-is-needful you to-sleep
αὐτῆς παρ' ἐμοί."
than-her beside me
τοῖς εὐπρεπέσιν δ' ἀκολουθοῦντες
the comely and following
καὶ μειρακίοις οἱ φαυλότεροι
and young-men the plainer
τοιάδ' ἐροῦσιν· "ποῖ θεῖς οὗτος;
such-things will-say where run-you you-there
πάντως οὐδὲν δράσεις ἐλθών·
in-any-case nothing you-will-do having-gone
τοῖς γὰρ σιμοῖς καὶ τοῖς αἰσχροῖς
to-the for snub-nosed and the ugly
ἐψήφισται προτέροις βινεῖν,
it-has-been-decreed first to-screw
ὑμᾶς δὲ τέως θρῖα λαβόντας
you and meanwhile fig-leaves having-taken
διφόρου συκῆς
of-twice-bearing fig-tree
ἐν τοῖς προθύροισι δέφεσθαι."
in the porches to-toss-off
φέρε νυν φράσον μοι, ταῦτ' ἀρέσκει σφῷν; ΒΛΕΠΤΡΟΣ πάνυ.
come now tell me these-things please you-two very-much

ΠΡΑΞΑΓΟΡΑ βαδιστέον τἄρ᾽ ἐστὶν εἰς ἀγορὰν ἐμοί,
must-go then it-is to market for-me
ἵν᾽ ἀποδέχωμαι τὰ προσιόντα χρήματα,
so-that I-may-receive the coming-in money
λαβοῦσα κηρύκαιναν εὔφωνόν τινα.
having-taken a-herald-woman loud-voiced some
ἐμὲ γὰρ ἀνάγκη ταῦτα δρᾶν ᾑρημένην
me for necessity these-things to-do having-been-chosen
ἄρχειν, καταστῆσαί τε τὰ ξυσσίτια, 715
to-rule to-establish and the common-meals
ὅπως ἂν εὐωχῆσθε πρῶτον τήμερον.
that — you-may-feast first today
ΒΛΕΠΥΡΟΣ ἤδη γὰρ εὐωχησόμεσθα; ΠΡΑΞΑΓΟΡΑ φήμ᾽ ἐγώ.
already for we-shall-feast I-say I
ἔπειτα τὰς πόρνας καταπαῦσαι βούλομαι
then the whores to-stop I-wish
ἁπαξαπάσας. ΒΛΕΠΥΡΟΣ ἵνα τί; ΠΡΑΞΑΓΟΡΑ δῆλον τουτογί·
all-together so-that what clear this-here
ἵνα τῶν νέων ἔχωσιν αὗται τὰς ἀκμάς. 720
so-that of-the young they-may-have these the prime
καὶ τάς γε δούλας οὐχὶ δεῖ κοσμουμένας
and the at-least slave-women not it-is-needful being-adorned
τὴν τῶν ἐλευθέρων ὑφαρπάζειν Κύπριν,
the of-the free to-snatch-away Cypris
ἀλλὰ παρὰ τοῖς δούλοισι κοιμᾶσθαι μόνον
but beside the slaves to-sleep only
κατωνάκην τὸν χοῖρον ἀποτετιλμένας.
in-sheepskin-frocks the pussy plucked

ΒΔΕΛΥΡΟΣ φέρε νυν ἐγώ σοι παρακολουθῶ πλησίον,
come now I by-you let-me-follow near
ἵν' ἀποβλέπωμαι καὶ λέγωσί μοι ταδί,
so-that I-may-be-looked-at and they-may-say to-me this
τὸν τῆς στρατηγοῦ τοῦτον οὐ θαυμάζετε;
the of-the general this-one not do-you-admire
ΑΝΗΡ Α′ ἐγὼ δ' ἵν' εἰς ἀγοράν γε τὰ σκεύη φέρω,
I and so-that to market at-least the goods I-may-carry
προχειριοῦμαι κἀξετάσω τὴν οὐσίαν.
will-make-ready and-will-examine the property

VII · THE PROCESSION OF GOODS

A citizen marshals his household goods for surrender as in a festival procession, bran sifter, cooking pot, water jars, and all. Another man scoffs and means to hang on to what he owns until he sees what everyone else does. When a herald proclaims the public dinner, he hurries off to claim his share and plots how to keep his property besides.

ΑΝΗΡ Α′ χώρει σὺ δεῦρο κιναχύρα καλὴ καλῶς
come you here bran-sifter fine finely
τῶν χρημάτων θύραζε πρώτη τῶν ἐμῶν,
of-the goods out-of-doors first of-the mine
ὅπως ἂν ἐντετριμμένη κανηφορῇς,
so-that — powdered you-may-be-basket-bearer
πολλοὺς κάτω δὴ θυλάκους στρέψασ' ἐμούς.
many down indeed bags having-turned my
ποῦ σθ' ἡ διφροφόρος; ἡ χύτρα δεῦρ' ἔξιθι,
where is the chair-bearer the pot here come-out
νὴ Δία μέλαινά γ', οὐδ' ἂν εἰ τὸ φάρμακον
by Zeus black at-least not-even — if the drug

ἕψουσ᾽ ἔτυχες ᾧ Λυσικράτης μελαίνεται.
boiling you-had-happened by-which Lysicrates blackens-himself

ἴστω παρ᾽ αὐτήν, δεῦρ᾽ ἴθ᾽, ἡ κομμώτρια.
let-it-stand beside her here come the hairdresser

φέρε δεῦρο ταύτην τὴν ὑδρίαν ὑδριαφόρε
bring here this the water-jar water-jar-bearer

ἐνταῦθα. σὺ δὲ δεῦρ᾽ ἡ κιθαρῳδὸς ἔξιθι,
there you and here the lyre-player come-out

πολλάκις ἀναστήσασά μ᾽ εἰς ἐκκλησίαν
often having-roused me to assembly

ἀωρὶ νυκτῶν διὰ τὸν ὄρθριον νόμον.
untimely of-nights because-of the dawn tune

ὁ τὴν σκάφην λαβὼν προΐτω· τὰ κηρία
the-one the tray having-taken let-go-forward the honeycombs

κόμιζε, τοὺς θαλλοὺς καθίστη πλησίον,
bring the olive-branches set near

καὶ τὼ τρίποδ᾽ ἐξένεγκε καὶ τὴν λήκυθον.
and the two-tripods carry-out and the oil-flask

τὰ χυτρίδι᾽ ἤδη καὶ τὸν ὄχλον ἀφίετε.
the little-pots now and the crowd let-go

ΑΝΗΡ Β′ ἐγὼ καταθήσω τἀμά; κακοδαίμων ἄρα
I will-put-down the-mine ill-starred then

ἀνὴρ ἔσομαι καὶ νοῦν ὀλίγον κεκτημένος.
a-man I-shall-be and sense little having-acquired

μὰ τὸν Ποσειδῶ γ᾽ οὐδέποτ᾽, ἀλλὰ βασανιῶ
by — Poseidon at-least never but I-shall-test

πρώτιστον αὐτὰ πολλάκις καὶ σκέψομαι.
first-of-all them often and I-shall-consider

οὐ γὰρ τὸν ἐμὸν ἱδρῶτα καὶ φειδωλίαν
not for the my sweat and thrift

οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ,
nothing to purpose so foolishly I-shall-throw-away
πρὶν ἂν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ' ὅπως ἔχει.
before — I-find-out all the thing how it-is
οὗτος τί τὰ σκευάρια ταυτὶ βούλεται;
you-there what the little-goods these mean
πότερον μετοικιζόμενος ἐξενήνοχας
whether moving-house you-have-brought-out
αὖτ' ἢ φέρεις ἐνέχυρα θήσων; ΑΝΗΡ Α′ οὐδαμῶς.
them or you-carry pledges going-to-pawn not-at-all
ΑΝΗΡ Β′ τί δῆτ' ἐπὶ στοίχου 'στὶν οὕτως; οὔτι μὴ
why then in a-row are-they so surely not
Ἱέρωνι τῷ κήρυκι πομπὴν πέμπετε;
to-Hiero the herald a-procession you-are-sending
ΑΝΗΡ Α′ μὰ Δί' ἀλλ' ἀποφέρειν αὐτὰ μέλλω τῇ πόλει
by Zeus but to-deliver them I-intend to-the city
ἐς τὴν ἀγορὰν κατὰ τοὺς δεδογμένους νόμους.
to the market according-to the resolved laws
ΑΝΗΡ Β′ μέλλεις ἀποφέρειν; ΑΝΗΡ Α′ πάνυ γε.
you-intend to-deliver very at-least
ΑΝΗΡ Β′ κακοδαίμων ἄρ' εἶ
ill-starred then you-are
νὴ τὸν Δία τὸν σωτῆρα. ΑΝΗΡ Α′ πῶς; ΑΝΗΡ Β′ πῶς; ῥᾳδίως.
by — Zeus the savior how how easily
ΑΝΗΡ Α′ τί δ'; οὐχὶ πειθαρχεῖν με τοῖς νόμοισι δεῖ;
what and not to-obey me the laws must
ΑΝΗΡ Β′ ποίοισιν ὦ δύστηνε; ΑΝΗΡ Α′ τοῖς δεδογμένοις.
which O wretch the resolved-ones
ΑΝΗΡ Β′ δεδογμένοισιν; ὡς ἀνόητος ἦσθ' ἄρα.
resolved how foolish you-were then

ΑΝΗΡ Α′ ἀνόητος; ΑΝΗΡ Β′ οὐ γάρ; ἠλιθιώτατος μὲν οὖν
foolish not for most-simple indeed then
ἁπαξαπάντων. ΑΝΗΡ Α′ ὅτι τὸ ταττόμενον ποιῶ;
of-all because the thing-ordered I-do
ΑΝΗΡ Β′ τὸ ταττόμενον γὰρ δεῖ ποιεῖν τὸν σώφρονα;
the thing-ordered for must do the sensible-man
ΑΝΗΡ Α′ μάλιστα πάντων. ΑΝΗΡ Β′ τὸν μὲν οὖν ἀβέλτερον.
most of-all the indeed then stupid-one
ΑΝΗΡ Α′ σὺ δ' οὐ καταθεῖναι διανοεῖ; ΑΝΗΡ Β′ φυλάξομαι,
you and not to-put-down intend I-shall-watch
πρὶν ἄν γ' ἴδω τὸ πλῆθος ὅ τι βουλεύεται.
before — at-least I-see the multitude what thing it-decides
ΑΝΗΡ Α′ τί γὰρ ἄλλο γ' ἢ φέρειν παρεσκευασμένοι
what for else at-least than to-carry prepared
τὰ χρήματ' εἰσίν; ΑΝΗΡ Β′ ἀλλ' ἰδὼν ἐπειθόμην.
the goods are but having-seen I-would-obey
ΑΝΗΡ Α′ λέγουσι γοῦν ἐν ταῖς ὁδοῖς. ΑΝΗΡ Β′ λέξουσι γάρ.
they-say at-least in the streets they-will-say for
ΑΝΗΡ Α′ καί φασιν οἴσειν ἀράμενοι. ΑΝΗΡ Β′ φήσουσι γάρ.
and they-say they-will-carry having-lifted they-will-say for
ΑΝΗΡ Α′ ἀπολεῖς ἀπιστῶν πάντ'. ΑΝΗΡ Β′ ἀπιστήσουσι γάρ.
you-will-ruin-us disbelieving everything they-will-disbelieve for
ΑΝΗΡ Α′ ὁ Ζεύς σέ γ' ἐπιτρίψειεν. ΑΝΗΡ Β′ ἐπιτρίψουσι γάρ.
— Zeus you at-least may-crush they-will-crush for
οἴσειν δοκεῖς τιν' ὅστις αὐτῶν νοῦν ἔχει;
to-carry think-you anyone who of-them sense has
οὐ γὰρ πάτριον τοῦτ' ἐστίν, ἀλλὰ λαμβάνειν
not for ancestral this is but to-take
ἡμᾶς μόνον δεῖ νὴ Δία· καὶ γὰρ οἱ θεοί·
us only it-is-needful by Zeus and for the gods

γνώσει δ' ἀπὸ τῶν χειρῶν γε τῶν ἀγαλμάτων·
you-will-know and from the hands at-least of-the statues
ὅταν γὰρ εὐχώμεσθα διδόναι τἀγαθά,
when for we-pray to-give the-good-things
ἕστηκεν ἐκτείνοντα τὴν χεῖρ' ὑπτίαν
stands stretching-out the hand upturned
οὐχ ὥς τι δώσοντ' ἀλλ' ὅπως τι λήψεται.
not as something going-to-give but so-that something it-will-take
ANHP A′ ὦ δαιμόνι' ἀνδρῶν ἔα με τῶν προὔργου τι δρᾶν.
O strange-one of-men let me of-the useful something to-do
ταυτὶ γάρ ἐστι συνδετέα. ποῦ μοὔσθ' ἱμάς;
these-things for are to-be-tied-up where to-me-is the-strap
ANHP B′ ὄντως γὰρ οἴσεις;
really for you-will-carry
ANHP A′ ναὶ μὰ Δία, καὶ δὴ μὲν οὖν
yes by Zeus and indeed indeed then
τωδὶ ξυνάπτω τὼ τρίποδε. ANHP B′ τῆς μωρίας,
these I-fasten the two-tripods of-the folly
τὸ μηδὲ περιμείναντα τοὺς ἄλλους ὅ τι
the not-even having-waited-for the others what thing
δράσουσιν εἶτα τηνικαῦτ' ἤδη — ANHP A′ τί δρᾶν;
they-will-do then at-that-time already what to-do
ANHP B′ ἐπαναμένειν, ἔπειτα διατρίβειν ἔτι.
to-wait then to-spend-time still
ANHP A′ ἵνα δὴ τί; ANHP B′ σεισμὸς εἰ γένοιτο πολλάκις
so-that indeed what an-earthquake if should-happen perchance
ἢ πῦρ ἀπότροπον, ἢ διάξειεν γαλῆ,
or fire ill-omened or should-dart-across a-weasel
παύσαιντ' ἂν ἐσφέροντες ὦμβρόντητε σύ.
would-stop — bringing-in O-thunderstruck you

ΑΝΗΡ Α′ χαρίεντα γοῦν πάθοιμ᾽ ἄν, εἰ μὴ ᾽χοιμ᾽ ὅποι
charming-things at-least I-should-suffer — if not I-had where
ταῦτα καταθείμην. ΑΝΗΡ Β′ μὴ γὰρ οὐ λάβῃς ὅποι·
these I-might-put-down not for not you-get where
θάρρει, καταθήσεις, κἂν ἔνης ἔλθῃς. ΑΝΗΡ Α′ τιή;
take-courage you-will-put-down even-if the-day-after-tomorrow you-come why
ΑΝΗΡ Β′ ἐγᾦδα τούτους χειροτονοῦντας μὲν ταχύ,
I-know these voting-by-hand indeed quickly
ἅττ᾽ ἂν δὲ δόξῃ ταῦτα πάλιν ἀρνουμένους.
whatever — and is-resolved these again denying
ΑΝΗΡ Α′ οἴσουσιν ὦ τᾶν. ΑΝΗΡ Β′ ἢν δὲ μὴ κομίσωσι, τί;
they-will-carry O my-friend if and not they-bring what
ΑΝΗΡ Α′ ἀμέλει κομιοῦσιν. ΑΝΗΡ Β′ ἢν δὲ μὴ κομίσωσι, τί;
never-mind they-will-bring if and not they-bring what
ΑΝΗΡ Α′ μαχούμεθ᾽ αὐτοῖς. ΑΝΗΡ Β′ ἢν δὲ κρείττους ὦσι, τί;
we-shall-fight with-them if and stronger they-be what
ΑΝΗΡ Α′ ἄπειμ᾽ ἐάσας. ΑΝΗΡ Β′ ἢν δὲ πωλῶσ᾽ αὐτά, τί;
I-shall-go-away having-let-be if and they-sell them what
ΑΝΗΡ Α′ διαρραγείης. ΑΝΗΡ Β′ ἢν διαρραγῶ δέ, τί;
may-you-burst if I-burst and what
ΑΝΗΡ Α′ καλῶς ποιήσεις. ΑΝΗΡ Β′ σὺ δ᾽ ἐπιθυμήσεις φέρειν;
well you-will-do you and will-desire to-carry
ΑΝΗΡ Α′ ἔγωγε· καὶ γὰρ τοὺς ἐμαυτοῦ γείτονας
I-at-least and for the of-myself neighbors
ὁρῶ φέροντας. ΑΝΗΡ Β′ πάνυ γ᾽ ἂν οὖν Ἀντισθένης
I-see carrying very at-least — then Antisthenes
αὖτ᾽ εἰσενέγκοι· πολὺ γὰρ ἐμμελέστερον
them would-bring-in much for more-fitting
πρότερον χέσαι πλεῖν ἢ τριάκονθ᾽ ἡμέρας.
before to-shit more than thirty days

ΑΝΗΡ Α′ οἴμωζε. ΑΝΗΡ Β′ Καλλίμαχος δ' ὁ χοροδιδάσκαλος
go-howl *Callimachus and the chorus-trainer*

αὐτοῖσιν εἰσοίσει τι; ΑΝΗΡ Α′ πλείω Καλλίου.
to-them will-bring-in something more than-Callias

ΑΝΗΡ Β′ ἄνθρωπος οὗτος ἀποβαλεῖ τὴν οὐσίαν.
the-fellow this will-throw-away the property

ΑΝΗΡ Α′ δεινά γε λέγεις.
terrible-things at-least you-say

ΑΝΗΡ Β′ τί δεινόν; ὥσπερ οὐχ ὁρῶν
what terrible as-if not seeing

ἀεὶ τοιαῦτα γιγνόμενα ψηφίσματα.
always such being-made decrees

οὐκ οἶσθ' ἐκεῖν' οὕνεκ' ἐτὸ περὶ τῶν ἁλῶν;
not know-you that which-was-decreed the about the salt

ΑΝΗΡ Α′ ἔγωγε. ΑΝΗΡ Β′ τοὺς χαλκοῦς δ' ἐκείνους ἡνίκα
I-do the coppers and those when

ἐψηφισάμεθ', οὐκ οἶσθα; ΑΝΗΡ Α′ καὶ κακόν γέ μοι
we-voted not do-you-know and bad at-least to-me

τὸ κόμμ' ἐγένετ' ἐκεῖνο. πωλῶν γὰρ βότρυς
the coinage became that selling for grapes

μεστὴν ἀπῆρα τὴν γνάθον χαλκῶν ἔχων
full I-went-off the jaw of-coppers having

κἄπειτ' ἐχώρουν εἰς ἀγορὰν ἐπ' ἄλφιτα.
and-then I-went to market for barley-meal

ἔπειθ' ὑπέχοντος ἄρτι μου τὸν θύλακον,
then holding-out just-now me the bag

ἀνέκραγ' ὁ κῆρυξ μὴ δέχεσθαι μηδένα
shouted-out the herald not to-receive no-one

χαλκοῦν τὸ λοιπόν· "ἀργύρῳ γὰρ χρώμεθα."
copper the rest with-silver for we-use

ΑΝΗΡ Β′ τὸ δ' ἔναγχος οὐχ ἅπαντες ἡμεῖς ὤμνυμεν
the and lately not all we swore
τάλαντ' ἔσεσθαι πεντακόσια τῇ πόλει
talents to-be five-hundred to-the city
τῆς τετταρακοστῆς, ἣν ἐπόρισ' Εὐριπίδης; 825
of-the fortieth which provided Euripides
κεὐθὺς κατεχρύσου πᾶς ἀνὴρ Εὐριπίδην·
and-at-once was-gilding every man Euripides
ὅτε δὴ δ' ἀνασκοπουμένοις ἐφαίνετο
when indeed and to-those-reviewing it-appeared
ὁ Διὸς Κόρινθος καὶ τὸ πρᾶγμ' οὐκ ἤρκεσεν,
— of-Zeus Corinthus and the thing not sufficed
πάλιν κατεπίττου πᾶς ἀνὴρ Εὐριπίδην.
again was-tarring every man Euripides
ΑΝΗΡ Α′ οὐ ταὐτὸν ὦ τᾶν. τότε μὲν ἡμεῖς ἤρχομεν, 830
not the-same O my-friend then indeed we were-ruling
νῦν δ' αἱ γυναῖκες. ΑΝΗΡ Β′ ἃς ἐγὼ φυλάξομαι
now and the women whom I shall-guard-against
νὴ τὸν Ποσειδῶ μὴ κατουρήσωσί μου.
by — Poseidon lest they-piss-on me
ΑΝΗΡ Α′ οὐκ οἶδ' ὅ τι ληρεῖς. φέρε σὺ τἀνάφορον ὁ παῖς.
not I-know what thing you-babble bring you the-pole the boy
ΚΗΡΥΚΑΙΝΑ ὦ πάντες ἀστοί, νῦν γὰρ οὕτω ταῦτ' ἔχει,
O all citizens now for so these-things are
χωρεῖτ' ἐπείγεσθ' εὐθὺ τῆς στρατηγίδος, 835
go hurry straight-to the general's
ὅπως ἂν ὑμῖν ἡ τύχη κληρουμένοις
so-that — to-you the fortune casting-lots
φράσῃ καθ' ἕκαστον ἄνδρ' ὅποι δειπνήσετε·
may-tell by each man where you-will-dine

ὡς αἱ τράπεζαί γ' εἰσὶν ἐπινενησμέναι
since the tables at-least are heaped-up
ἀγαθῶν ἁπάντων καὶ παρεσκευασμέναι,
with-good-things all and prepared
κλῖναί τε σισυρῶν καὶ δαπίδων †νενασμέναι†,
couches and with-fleeces and with-rugs heaped
κρατῆρα συγκιρνᾶσιν, αἱ μυροπώλιδες
a-mixing-bowl mix the perfume-sellers
ἑστᾶσ' ἐφεξῆς, τὰ τεμάχη ῥιπίζεται,
they-stand in-order the slices are-fanned
λαγῷ' ἀναπηγνύασι, πόπανα πέττεται,
hare-meat they-spit cakes are-baked
στέφανοι πλέκονται, φρύγεται τραγήματα,
garlands are-woven are-roasted sweetmeats
χύτρας ἕτνους ἕψουσιν αἱ νεώταται.
pots of-pea-soup boil the youngest
Σμοῖος δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων
Smoeus and among them horseman's dress having
τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια.
the of-the women licks-clean bowls
Γέρων δὲ χωρεῖ χλανίδα καὶ κονίποδε
Geron and goes a-fine-cloak and two-dusty-shoes
ἔχων, καχάζων μεθ' ἑτέρου νεανίου·
having guffawing with another young-man
ἐμβὰς δὲ κεῖται καὶ τρίβων ἐρριμμένος.
shoe and lies and old-cloak thrown-away
πρὸς ταῦτα χωρεῖθ', ὡς ὁ τὴν μᾶζαν φέρων
toward these-things go since the-one the barley-cake carrying
ἕστηκεν· ἀλλὰ τὰς γνάθους διοίγνυτε.
stands but the jaws open

ΑΝΗΡ Β′ οὐκοῦν βαδιοῦμαι δῆτα. τί γὰρ ἕστηκ᾽ ἔχων
therefore I-shall-go then why for do-I-stand holding
ἐνταῦθ᾽, ἐπειδὴ ταῦτα τῇ πόλει δοκεῖ;
here since these-things to-the city seem-good
ΑΝΗΡ Α′ καὶ ποῖ βαδιεῖ σὺ μὴ καταθεὶς τὴν οὐσίαν; 855
and where will-go you not having-put-down the property
ΑΝΗΡ Β′ ἐπὶ δεῖπνον. ΑΝΗΡ Α′ οὐ δῆτ᾽, ἤν γ᾽ ἐκείναις νοῦς ἐνῇ,
to dinner not then if at-least those sense be-in
πρίν γ᾽ ἂν ἀπενέγκῃς. ΑΝΗΡ Β′ ἀλλ᾽ ἀποίσω. ΑΝΗΡ Α′ πηνίκα;
before at-least — you-deliver but I-shall-deliver when
ΑΝΗΡ Β′ οὐ τοὐμὸν ὦ τᾶν ἐμποδὼν ἔσται. ΑΝΗΡ Α′ τί δή;
not the-mine O my-friend in-the-way will-be what indeed
ΑΝΗΡ Β′ ἑτέρους ἀποίσειν φήμ᾽ ἔθ᾽ ὑστέρους ἐμοῦ.
others to-deliver I-say still later than-me
ΑΝΗΡ Α′ βαδιεῖ δὲ δειπνήσων ὅμως; ΑΝΗΡ Β′ τί γὰρ πάθω; 860
will-go and to-dine nevertheless what for should-I-suffer
τὰ δυνατὰ γὰρ δεῖ τῇ πόλει ξυλλαμβάνειν
the possible-things for must to-the city help
τοὺς εὖ φρονοῦντας. ΑΝΗΡ Α′ ἢν δὲ κωλύσωσι, τί;
the well thinking if and they-prevent what
ΑΝΗΡ Β′ ὁμόσ᾽ εἶμι κύψας. ΑΝΗΡ Α′ ἢν δὲ μαστιγῶσι, τί;
straight I-shall-go stooping if and they-whip what
ΑΝΗΡ Β′ καλούμεθ᾽ αὐτάς. ΑΝΗΡ Α′ ἢν δὲ καταγελῶσι, τί;
we-shall-summon them if and they-mock what
ΑΝΗΡ Β′ ἐπὶ ταῖς θύραις ἑστώς — ΑΝΗΡ Α′ τί δράσεις; εἰπέ μοι. 865
at the doors standing what will-you-do tell me
ΑΝΗΡ Β′ τῶν ἐσφερόντων ἁρπάσομαι τὰ σιτία.
of-those bringing-in I-shall-snatch the food

ANHP A′ βάδιζε τοίνυν ὕστερος· σὺ δ' ὦ Σίκων
go well-then later you and O Sicon
καὶ Παρμένων αἴρεσθε τὴν παμπησίαν.
and Parmenon lift-up the whole-property
ANHP B′ φέρε νυν ἐγώ σοι ξυμφέρω. ANHP A′ μὴ μηδαμῶς.
come now I you help-carry not by-no-means
δέδοικα γὰρ μὴ καὶ παρὰ τῇ στρατηγίδι,
I-fear for lest also before the general's
ὅταν κατατιθῶ, προσποιῇ τῶν χρημάτων.
when I-put-down you-claim of-the goods
ANHP B′ νὴ τὸν Δία δεῖ γοῦν μηχανήματός τινος,
by — Zeus there-is-need at-least of-a-contrivance some
ὅπως τὰ μὲν ὄντα χρήμαθ' ἕξω, τοισδεδὶ
so-that the indeed existing goods I-shall-keep with-these-here
τῶν ματτομένων κοινῇ μεθέξω πως ἐγώ.
of-the being-kneaded in-common I-shall-share somehow I
ὀρθῶς ἔμοιγε φαίνεται· βαδιστέον
rightly to-me-at-least it-appears must-go
ὁμόσ' ἐστὶ δειπνήσοντα κοὐ μελλητέον.
straight it-is going-to-dine and-not must-delay

An old woman painted up at her window and a young girl at hers trade insults and songs while each waits for a lover. Young Epigenes comes for the girl, but the old woman invokes the new law that he must sleep with her first. The girl snatches him away, only for a second and uglier hag to claim him, and then a third; the two drag him off between them while he laments his fate.

ΓΡΑΥΣ Α′ τί ποθ’ ἄνδρες οὐχ ἥκουσιν; ὥρα δ’ ἦν πάλαι·
why ever the-men not come time and it-was long-ago
ἐγὼ δὲ καταπεπλασμένη ψιμυθίῳ
I and plastered with-white-lead
ἕστηκα καὶ κροκωτὸν ἠμφιεσμένη
stand and a-saffron-gown having-put-on
ἀργός, μινυρομένη τι πρὸς ἐμαυτὴν μέλος,
idle humming some to myself song
παίζουσα. πῶς ἂν περιλάβοιμ’ αὐτῶν τινὰ
playing how — I-might-catch of-them some-one
παριόντα; Μοῦσαι δεῦρ’ ἴτ’ ἐπὶ τοὐμὸν στόμα,
passing-by Muses here come to the-my mouth
μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.
a-little-tune having-found some of-the Ionian
ΝΕΑΝΙΣ νῦν μέν με παρακύψασα προὔφθης ὦ σαπρά.
now indeed me having-peeped-out you-got-ahead-of O rotten-one
ᾤου δ’ ἐρήμας οὐ παρούσης ἐνθάδε
you-thought and empty not being-present here
ἐμοῦ τρυγήσειν καὶ προσάξεσθαί τινα
me to-gather-the-vintage and to-attract someone
ᾄδουσ’· ἐγὼ δ’ ἢν τοῦτο δρᾷς ἀντᾴσομαι.
singing I and if this you-do will-sing-against

κεἰ γὰρ δι᾽ ὄχλου τοῦτ᾽ ἐστὶ τοῖς θεωμένοις,
and-if for through annoyance this is to-those watching
ὅμως ἔχει τερπνόν τι καὶ κωμῳδικόν.
nevertheless it-has delightful something and comic
ΓΡΑΥΣ Α′ τούτῳ διαλέγου κἀποχώρησον· σὺ δὲ
with-this converse and-withdraw you and
φιλοττάριον αὐλητὰ τοὺς αὐλοὺς λαβὼν
dear-little flute-player the pipes having-taken
ἄξιον ἐμοῦ καὶ σοῦ προσαύλησον μέλος.
worthy of-me and of-you play-to a-tune
εἴ τις ἀγαθὸν βούλεται παθεῖν
if anyone good wishes to-experience
τι, παρ᾽ ἐμοὶ χρὴ καθεύδειν.
something with me must sleep
οὐ γὰρ ἐν νέαις τὸ σοφὸν ἔνεστιν
not for in young-ones the skill is
ἀλλ᾽ ἐν ταῖς πεπείραις·
but in the ripe
οὐδέ τις στέργειν ἂν ἐθέλοι μᾶλλον ἢ ᾽γὼ
nor anyone to-be-fond — would-wish more than I
τὸν φίλον ᾧπερ ξυνείην,
the friend with-whom I-might-consort
ἀλλ᾽ ἐφ᾽ ἕτερον ἂν πέτοιτο.
but to another — she-would-fly
ΝΕΑΝΙΣ μὴ φθόνει ταῖσιν νέαισι.
not begrudge the young-girls
τὸ τρυφερὸν γὰρ ἐμπέφυκε
the delicacy for is-inborn
τοῖς ἁπαλοῖσι μηροῖς
in-the soft thighs

καὰπὶ τοῖς μήλοις ἐπανθεῖ· σὺ δ' ὦ γραῦ,
and-on the apples blooms you and O old-woman

παραλέλεξαι κἀντέτριψαι,
have-been-plucked and-been-rubbed-in

τῷ θανάτῳ μέλημα.
for-the death a-darling

ΓΡΑΥΣ Α′ ἐκπέσοι σου τὸ τρῆμα
may-fall-out of-you the hole

τό τ' ἐπίκλιντρον ἀποβάλοιο
the and couch-back may-you-lose

βουλομένη σποδεῖσθαι,
wishing to-be-screwed

κἀπὶ τῆς κλίνης ὄφιν εὕροις
and-on the bed a-snake may-you-find

καὶ προσελκύσαιο ***
and may-you-draw-to-you (lacuna)

βουλομένη φιλῆσαι.
wishing to-kiss

ΝΕΑΝΙΣ αἰαῖ τί ποτε πείσομαι;
alas what ever shall-I-suffer

οὐχ ἥκει μοὐταῖρος·
not comes my-companion

μόνη δ' αὐτοῦ λείπομ'· ἡ
alone and here I-am-left the

γάρ μοι μήτηρ ἄλλῃ
for my mother elsewhere

βέβηκε· †καὶ τἄλλ' οὐδὲν μετὰ ταῦτα δεῖ λέγειν†.
has-gone and the-rest nothing after these-things need to-say

ἀλλ' ὦ μαῖ' ἱκετεύομαι, κάλει
but O nurse I-beg call

τὸν Ὀρθαγόραν, ὅπως
— *Orthagoras* *so-that*
σαυτῆς κατόναι', ἀντιβολῶ σε.
of-yourself *may-you-have-joy* *I-beg* *you*
ΓΡΑΥΣ Α′ ἤδη τὸν ἀπ' Ἰωνίας
already *the* *from* *Ionia*
τρόπον τάλαινα κνησιᾷς·
way *wretched* *you-itch*

***

(lacuna)

***

(lacuna)

δοκεῖς δέ μοι καὶ λάβδα κατὰ τοὺς Λεσβίους.
you-seem *and* *to-me* *also* *lambda* *after* *the* *Lesbians*
ἀλλ' οὐκ ἄν ποθ' ὑφαρπάσαιο
but *not* — *ever* *you-could-snatch-away*
τἀμὰ παίγνια· τὴν δ' ἐμὴν
the-my *playthings* *the* *and* *my*
ὥραν οὐκ ἀπολεῖς οὐδ' ἀπολήψει.
bloom *not* *you-will-destroy* *nor* *will-you-intercept*
ΝΕΑΝΙΣ ᾇδ' ὁπόσα βούλει καὶ παράκυφθ' ὥσπερ γαλῆ·
sing *as-much-as* *you-wish* *and* *peep-out* *like* *a-weasel*
οὐδεὶς γὰρ ὡς σὲ πρότερον εἴσεισ' ἀντ' ἐμοῦ.
no-one *for* *to* *you* *first* *will-go-in* *instead-of* *me*
ΓΡΑΥΣ Α′ οὔκουν ἐπ' ἐκφοράν γε. ΝΕΑΝΙΣ καινόν γ' ὦ σαπρά.
not-then *for* *burial* *at-least* *new* *at-least* *O* *rotten-one*
ΓΡΑΥΣ Α′ οὐ δῆτα. ΝΕΑΝΙΣ τί γὰρ ἂν
not *then* *what* *for* —
γραΐ καινά τις λέγοι;
to-an-old-woman *new-things* *anyone* *could-say*

ΓΡΑΥΣ Α′ οὐ τοὐμὸν ὀδυνήσει σε γῆρας. ΝΕΑΝΙΣ ἀλλὰ τί;
not the-my will-pain you old-age but what

ἤγχουσα μᾶλλον καὶ τὸ σὸν ψιμύθιον;
anchusa rather and the your white-lead

ΓΡΑΥΣ Α′ τί μοι διαλέγει;
why with-me do-you-converse

ΝΕΑΝΙΣ σὺ δὲ τί διακύπτεις; ΓΡΑΥΣ Α′ ἐγώ;
you and why peep-out I

ᾄδω πρὸς ἐμαυτὴν Ἐπιγένει τὠμῷ φίλῳ.
sing to myself to-Epigenes the-my friend

ΝΕΑΝΙΣ σοὶ γὰρ φίλος τίς ἐστιν ἄλλος ἢ Γέρης;
to-you for friend who is other than Geres

ΓΡΑΥΣ Α′ δείξει γε καὶ σοί. τάχα γὰρ εἶσιν ὡς ἐμέ.
he-will-show at-least also to-you quickly for he-will-come to me

ΝΕΑΝΙΣ ὁδὶ γὰρ αὐτός ἐστιν. ΓΡΑΥΣ Α′ οὐ σοῦ γ' ὦλεθρε
this-one for himself is not of-you at-least O-plague

δεόμενος οὐδέν. ΝΕΑΝΙΣ νὴ Δί' ὦ φθίνυλλα σὺ
needing nothing by Zeus O wasting-one you

δείξει τάχ' αὐτός, ὡς ἔγωγ' ἀπέρχομαι.
he-will-show soon himself since I-at-least go-away

ΓΡΑΥΣ Α′ κἄγωγ', ἵνα γνῷς ὡς πολύ σου μεῖζον φρονῶ.
and-I so-that you-may-know how much than-you greater I-think

ΝΕΑΝΙΑΣ εἴθ' ἐξῆν παρὰ τῇ νέᾳ καθεύδειν,
would it-were-possible with the young-one to-sleep

καὶ μὴ 'δει πρότερον διασποδῆσαι
and not it-was-needful first to-poke

ἀνάσιμον ἢ πρεσβυτέραν·
a-snub-nosed or older-one

οὐ γὰρ ἀνασχετὸν τοῦτό γ' ἐλευθέρῳ.
not for tolerable this at-least for-a-free-man

ΓΡΑΤΣ Α′ οἰμώζων ἄρα νὴ Δία σποδήσεις.
howling then by Zeus you-will-poke
οὐ γὰρ τἀπὶ Χαριξένης τάδ' ἐστίν.
not for the-things-in-the-time-of Charixene these are
κατὰ τὸν νόμον ταῦτα ποιεῖν
according-to the law these-things to-do
ἔστι δίκαιον, εἰ δημοκρατούμεθα.
is just if we-are-democratically-governed
ἀλλ' εἶμι τηρήσουσ' ὅ τι καὶ δράσει ποτέ.
but I-shall-go going-to-watch what thing also he-will-do ever
ΝΕΑΝΙΑΣ εἴθ' ὦ θεοὶ λάβοιμι τὴν καλὴν μόνην,
would O gods I-might-get the fair-one alone
ἐφ' ἣν πεπωκὼς ἔρχομαι πάλαι ποθῶν.
to whom having-drunk I-come long-since longing
ΝΕΑΝΙΣ ἐξηπάτησα τὸ κατάρατον γρᾴδιον·
I-deceived the accursed little-old-woman
φρούδη γάρ ἐστιν οἰομένη μ' ἔνδον μένειν.
gone for she-is thinking me inside to-stay
ἀλλ' οὑτοσὶ γὰρ αὐτὸς οὗ 'μεμνήμεθα.
but this-man for himself of-whom we-made-mention
δεῦρο δὴ δεῦρο δή,
here indeed here indeed
φίλον ἐμόν, δεῦρό μοι
friend mine here to-me
πρόσελθε καὶ ξύνευνος
come-near and bedfellow
τὴν εὐφρόνην ὅπως ἔσει.
the night so-that you-will-be
πάνυ γάρ τις ἔρως με δονεῖ
very for some love me shakes

τῶνδε τῶν σῶν βοστρύχων.
of-these the your curls

ἄτοπος δ' ἔγκειταί μοί τις
strange and lies-on me some

πόθος, ὅς με διακναίσας ἔχει
longing which me having-worn-out holds

μέθες, ἱκνοῦμαί σ' Ἔρως,
let-go I-beseech you Eros

καὶ ποίησον τόνδ' ἐς εὐνὴν
and make this-one into bed

τὴν ἐμὴν ἱκέσθαι.
the my to-come

ΝΕΑΝΙΑΣ δεῦρο δὴ δεῦρο δή,
here indeed here indeed

καὶ σύ μοι καταδραμοῦσα
and you to-me having-run-down

τὴν θύραν ἄνοιξον
the door open

τήνδ'· εἰ δὲ μή, καταπεσὼν κείσομαι.
this if and not having-fallen I-shall-lie

φίλον, ἀλλ' ἐν τῷ σῷ
dear but in the your

βούλομαι κόλπῳ πληκτίζεσθαι
I-wish bosom to-sport

μετὰ τῆς σῆς πυγῆς.
with the your buttocks

Κύπρι τί μ' ἐκμαίνεις ἐπὶ ταύτῃ;
Cypris why me do-you-madden over this-one

μέθες, ἱκνοῦμαί σ' Ἔρως,
let-go I-beseech you Eros

καὶ ποίησον τήνδ' ἐς εὐνὴν
and make this-one into bed
τὴν ἐμὴν ἱκέσθαι.
the my to-come

ΝΕΑΝΙΣ καὶ ταῦτα μέντοι μετρίως πρὸς τὴν ἐμὴν ἀνάγκην
and these-things however moderately to the my need
εἰρημέν' ἐστίν. σὺ δέ μοι, φίλτατον, ὦ ἱκετεύω,
spoken are you and to-me dearest oh I-beg
ἄνοιξον ἀσπάζου με·
open embrace me
διά τοι σὲ πόνους ἔχω.
because-of surely you pains I-have

ΝΕΑΝΙΑΣ ὦ χρυσοδαίδαλτον ἐμὸν μέλημα, Κύπριδος ἔρνος,
O gold-wrought my darling of-Cypris offshoot
μέλιττα Μούσης, Χαρίτων θρέμμα, Τρυφῆς πρόσωπον,
bee of-the-Muse of-the-Graces nursling of-Luxury face
ἄνοιξον ἀσπάζου με·
open embrace me
διά τοι σὲ πόνους ἔχω.
because-of surely you pains I-have

ΓΡΑΥΣ Α′ οὗτος τί κόπτεις; μῶν ἐμὲ ζητεῖς; ΝΕΑΝΙΑΣ πόθεν;
you-there why knock-you surely-not me you-seek whence
ΓΡΑΥΣ Α′ καὶ τὴν θύραν γ' ἤραττες. ΝΕΑΝΙΑΣ ἀποθάνοιμ' ἄρα.
and the door at-least you-were-banging may-I-die then
ΓΡΑΥΣ Α′ τοῦ δαὶ δεόμενος δᾷδ' ἔχων ἐλήλυθας;
for-what then needing a-torch having you-have-come
ΝΕΑΝΙΑΣ Ἀναφλύστιον ζητῶν τιν' ἄνθρωπον. ΓΡΑΥΣ Α′ τίνα;
of-Anaphlystus seeking some man whom
ΝΕΑΝΙΑΣ οὐ τὸν Σεβῖνον, ὃν σὺ προσδοκᾷς ἴσως.
not — Sebinus whom you expect perhaps

ΓΡΑΤΣ Α′ νὴ τὴν Ἀφροδίτην, ἤν τε βούλῃ γ' ἤν τε μή.
by — Aphrodite if both you-wish at-least if and not

ΝΕΑΝΙΑΣ ἀλλ' οὐχὶ νυνὶ τὰς ὑπερεξηκοντέτεις
but not now those over-sixty

εἰσάγομεν, ἀλλ' εἰσαῦθις ἀναβεβλήμεθα.
we-bring-in but till-later we-have-postponed

τὰς ἐντὸς εἴκοσιν γὰρ ἐκδικάζομεν.
those within twenty for we-are-trying

ΓΡΑΤΣ Α′ ἐπὶ τῆς προτέρας ἀρχῆς γε ταῦτ' ἦν ὦ γλύκων· 985
under the former rule at-least these-things were O sweetie

νυνὶ δὲ πρῶτον εἰσάγειν ἡμᾶς δοκεῖ.
now and first to-bring-in us it-seems-good

ΝΕΑΝΙΑΣ τῷ βουλομένῳ γε κατὰ τὸν ἐν πεττοῖς νόμον.
for-the-one wishing at-least by the in drafts rule

ΓΡΑΤΣ Α′ ἀλλ' οὐδὲ δειπνεῖς κατὰ τὸν ἐν πεττοῖς νόμον.
but not-even you-dine by the in drafts rule

ΝΕΑΝΙΑΣ οὐκ οἶδ' ὅ τι λέγεις· τηνδεδί μοι κρουστέον.
not I-know what thing you-say this-one-here for-me must-knock

ΓΡΑΤΣ Α′ ὅταν γε κρούσῃς τὴν ἐμὴν πρῶτον θύραν. 990
when at-least you-knock the my first door

ΝΕΑΝΙΑΣ ἀλλ' οὐχὶ νυνὶ κρησέραν αἰτούμεθα.
but not now a-sieve we-ask

ΓΡΑΤΣ Α′ οἶδ' ὅτι φιλοῦμαι· νῦν δὲ θαυμάζεις ὅτι
I-know that I-am-loved now and you-wonder that

θύρασί μ' ηὗρες· ἀλλὰ πρόσαγε τὸ στόμα.
at-doors me you-found but bring-near the mouth

ΝΕΑΝΙΑΣ ἀλλ' ὦ μέλ' ὀρρωδῶ τὸν ἐραστήν σου. ΓΡΑΤΣ Α′ τίνα;
but O friend I-fear the lover of-you whom

ΝΕΑΝΙΑΣ τὸν τῶν γραφέων ἄριστον. ΓΡΑΤΣ Α′ οὗτος δ' ἔστι τίς; 995
the of-the painters best this-one and is who

ΝΕΑΝΙΑΣ ὃς τοῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.
who for-the dead paints the oil-flasks
ἀλλ' ἄπιθ', ὅπως μή σ' ἐπὶ θύραισιν ὄψεται.
but go-away so-that not you at doors he-will-see
ΓΡΑΤΣ Α′ οἶδ' οἶδ' ὅ τι βούλει.
I-know I-know what thing you-want
ΝΕΑΝΙΑΣ καὶ γὰρ ἐγώ σε νὴ Δία.
and for I you by Zeus
εὐηργέτησα δεομένους ἕξειν φίλους
I-benefited *needing* *to-have* *friends*

ὄντως βεβαίους, εἰ δεηθείην ποτέ·
truly *firm* *if* *I-should-be-in-need* *ever*

οἱ δ' ἐξετρέποντο κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.
they *and* *turned-aside* *and-not* *seemed* *to-see* *me* *any-longer*

ΚΑΡΙΩΝ καὶ κατεγέλων δ' εὖ οἶδ' ὅτι. ΔΙΚΑΙΟΣ κομιδῇ μὲν οὖν·
and *they-laughed* *and* *well* *I-know* *that* *entirely* *indeed* *then*

αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων μ' ἀπώλεσεν.
dryness *for* *being* *of-the* *vessels* *me* *ruined*

ΚΑΡΙΩΝ ἀλλ᾽ οὐχὶ νῦν. ΔΙΚΑΙΟΣ ἀνθ᾽ ὧν ἐγὼ πρὸς τὸν θεὸν
but not now in-return-for which I to the god
προσευξόμενος ἥκω δικαίως ἐνθάδε.
going-to-pray come justly here
ΚΑΡΙΩΝ τὸ τριβώνιον δὲ τί δύναται πρὸς τῶν θεῶν,
the little-cloak and what means by the gods
ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τουτί; φράσον.
which carries with you the little-boy this-here tell
ΔΙΚΑΙΟΣ καὶ τοῦτ᾽ ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν.
also this going-to-dedicate I-come to the god
ΚΑΡΙΩΝ μῶν οὖν ἐμυήθης δῆτ᾽ ἐν αὐτῷ τὰ μεγάλα;
surely-not then were-you-initiated then in it the great-mysteries
ΔΙΚΑΙΟΣ οὐκ ἀλλ᾽ ἐνερρίγωσ᾽ ἔτη τριακαίδεκα.
no but I-shivered-in-it years thirteen
ΚΑΡΙΩΝ τὰ δ᾽ ἐμβάδια; ΔΙΚΑΙΟΣ καὶ ταῦτα συνεχειμάζετο.
the and little-shoes also these wintered-with-me
ΚΑΡΙΩΝ καὶ ταῦτ᾽ ἀναθήσων ἔφερες οὖν; ΔΙΚΑΙΟΣ νὴ τὸν Δία.
and these going-to-dedicate you-were-bringing then by — Zeus
ΚΑΡΙΩΝ χαρίεντά γ᾽ ἥκεις δῶρα τῷ θεῷ φέρων.
charming at-least you-come gifts to-the god bringing
ΣΥΚΟΦΑΝΤΗΣ οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος,
ah-me ill-starred how I-am-ruined miserable
καὶ κακοδαίμων καὶ τετράκις καὶ πεντάκις
both ill-starred and four-times and five-times
καὶ δωδεκάκις καὶ μυριάκις· ἰοὺ ἰού.
and twelve-times and ten-thousand-times oh oh
οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι.
so with-much-bearing I-have-been-mixed fortune

ΚΑΡΙΩΝ Ἄπολλον ἀποτρόπαιε καὶ θεοὶ φίλοι,
Apollo averter and gods dear
τί ποτ' ἐστὶν ὅ τι πέπονθεν ἄνθρωπος κακόν;
what ever is what thing has-suffered the-fellow evil
ΣΥΚΟΦΑΝΤΗΣ οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
not for dreadful have-I-suffered now things
ἀπολωλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
having-lost all the-things-in the house
διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
because-of the god this the going-to-be blind
πάλιν αὖθις, ἤνπερ μὴ 'λλίπωσιν αἱ δίκαι;
again once-more if-indeed not fail the lawsuits
ΔΙΚΑΙΟΣ ἐγὼ σχεδὸν τὸ πρᾶγμα γιγνώσκειν δοκῶ.
I nearly the thing to-understand think
προσέρχεταί γάρ τις κακῶς πράττων ἀνήρ,
approaches for some badly faring man
ἔοικε δ' εἶναι τοῦ πονηροῦ κόμματος.
he-seems and to-be of-the bad coinage
ΚΑΡΙΩΝ νὴ Δία καλῶς τοίνυν ποιῶν ἀπόλλυται.
by Zeus well well-then doing he-is-ruined
ΣΥΚΟΦΑΝΤΗΣ ποῦ ποῦ 'σθ' ὁ μόνος ἅπαντας ἡμᾶς πλουσίους
where where is he-who alone all us rich
ὑποσχόμενος οὗτος ποιήσειν εὐθέως,
having-promised this-one to-make at-once
εἰ πάλιν ἀναβλέψειεν ἐξ ἀρχῆς; ὁ δὲ
if again he-should-recover-sight from beginning he and
πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
much rather some has having-ruined
ΚΑΡΙΩΝ καὶ τίνα δέδρακε δῆτα τοῦτ'; ΣΥΚΟΦΑΝΤΗΣ ἐμὲ τουτονί.
and whom has-he-done then this me this-man

ΚΑΡΙΩΝ ἦ τῶν πονηρῶν ἦσθα καὶ τοιχωρύχων;
— *of-the wicked you-were and of-housebreakers*

ΣΥΚΟΦΑΝΤΗΣ μὰ Δί᾽ οὐ μὲν οὖν ἔσθ᾽ ὑγιὲς ὑμῶν οὐδενός, 870
by Zeus not indeed then is sound of-you of-none

κοὐκ ἔσθ᾽ ὅπως οὐκ ἔχετέ μου τὰ χρήματα.
and-not it-is how not you-have my the money

ΚΑΡΙΩΝ ὡς σοβαρὸς ὦ Δάματερ εἰσελήλυθεν
how pompous O Demeter has-come-in

ὁ συκοφάντης. δῆλον ὅτι βουλιμιᾷ.
the informer clear that he-is-ravenous

ΣΥΚΟΦΑΝΤΗΣ σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως
you indeed to market going quickly

οὐκ ἂν φθάνοις·
not — you-would-be-too-quick

ἐπὶ τοῦ τροχοῦ γὰρ δεῖ σ᾽ ἐκεῖ στρεβλούμενον 875
on the wheel for must you there being-racked

εἰπεῖν ἃ πεπανούργηκας. ΚΑΡΙΩΝ οἰμώξᾰρα σύ.
to-say what you-have-done-villainously you-will-howl-then you

ΔΙΚΑΙΟΣ νὴ τὸν Δία τὸν σωτῆρα πολλοῦ γ᾽ ἄξιος
by — Zeus the savior much at-least worth

ἅπασι τοῖς Ἕλλησιν ὁ θεός ἐσθ᾽ ὅτι
to-all the Greeks the god is because

τοὺς συκοφάντας ἐξολεῖ κακοὺς κακῶς.
the informers he-will-destroy bad-men badly

ΣΥΚΟΦΑΝΤΗΣ οἴμοι τάλας· μῶν καὶ σὺ μετέχων καταγελᾷς; 880
ah-me wretch surely-not also you sharing do-you-laugh

ἐπεὶ πόθεν θοἰμάτιον εἴληφας τοδί;
since whence the-cloak have-you-got this

ἐχθὲς δ᾽ ἔχοντ᾽ εἶδόν σ᾽ ἐγὼ τριβώνιον.
yesterday and having I-saw you I a-little-old-cloak

ΔΙΚΑΙΟΣ οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
nothing I-care-for you I-wear for having-bought
τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου δραχμῆς.
the ring this from Eudamus for-a-drachma
885 ΚΑΡΙΩΝ †ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος.†
but not is-in-it against-an-informer's bite
ΣΥΚΟΦΑΝΤΗΣ ἆρ' οὐχ ὕβρις ταῦτ' ἐστὶ πολλή; σκώπτετον,
— not insolence these-things are much you-two-mock
ὅ τι δὲ ποιεῖτον ἐνθάδ' οὐκ εἰρήκατον.
what thing and you-two-do here not have-you-two-said
οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐστὸν οὐδενί.
not for good for here you-two-are no
ΔΙΚΑΙΟΣ μὰ τὸν Δί' οὔκουν τῷ γε σῷ, σάφ' ἴσθ' ὅτι.
by — Zeus not-then for-the at-least yours clearly know that
890 ΣΥΚΟΦΑΝΤΗΣ ἀπὸ τῶν ἐμῶν γὰρ ναὶ μὰ Δία δειπνήσετον.
from the mine for yes by Zeus you-two-will-dine
ΚΑΡΙΩΝ ὡς δὴ 'π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
as indeed in truth you with the witness
διαρραγείης μηδενός γ' ἐμπλήμενος.
may-you-burst with-nothing at-least having-been-filled
ΣΥΚΟΦΑΝΤΗΣ ἀρνεῖσθον; ἔνδον ἐστὶν ὦ μιαρωτάτω
you-two-deny inside there-is O most-abominable-pair
πολὺ χρῆμα τεμαχῶν καὶ κρεῶν ὠπτημένων.
much a-heap of-slices and of-meats roasted
895 ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ ὒ.
hu hu hu hu hu hu hu hu hu hu hu hu

ΚΑΡΙΩΝ κακόδαιμον ὀσφραίνει τι;
wretch you-smell something

ΔΙΚΑΙΟΣ τοῦ ψύχους γ' ἴσως
of-the cold at-least perhaps

ἐπεὶ τοιοῦτόν γ' ἀμπέχεται τριβώνιον.
since such at-least he-wears a-little-old-cloak

ΣΥΚΟΦΑΝΤΗΣ ταῦτ' οὖν ἀνασχέτ' ἐστὶν ὦ Ζεῦ καὶ θεοί,
these-things then tolerable are O Zeus and gods

τούτους ὑβρίζειν εἰς ἔμ'; οἴμ' ὡς ἄχθομαι
these to-insult against me oh how I-am-vexed

ὅτι χρηστὸς ὢν καὶ φιλόπολις πάσχω κακῶς. 900
because good being and patriotic I-suffer badly

ΔΙΚΑΙΟΣ σὺ φιλόπολις καὶ χρηστός;
you patriotic and good

ΣΥΚΟΦΑΝΤΗΣ ὡς οὐδείς γ' ἀνήρ.
as no at-least man

ΔΙΚΑΙΟΣ καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι. ΣΥΚΟΦΑΝΤΗΣ τὸ τί;
and truly having-been-asked answer me the what

ΔΙΚΑΙΟΣ γεωργὸς εἶ; ΣΥΚΟΦΑΝΤΗΣ μελαγχολᾶν μ' οὕτως οἴει;
a-farmer are-you to-be-mad me so do-you-think

ΔΙΚΑΙΟΣ ἀλλ' ἔμπορος;
but a-merchant

ΣΥΚΟΦΑΝΤΗΣ ναί, σκήπτομαί γ', ὅταν τύχω.
yes I-plead at-least whenever I-happen

ΔΙΚΑΙΟΣ τί δαί; τέχνην τιν' ἔμαθες; ΣΥΚΟΦΑΝΤΗΣ οὐ μὰ τὸν Δία. 905
what then a-craft some did-you-learn not by — Zeus

ΔΙΚΑΙΟΣ πῶς οὖν διέζης ἢ πόθεν μηδὲν ποιῶν;
how then did-you-live or whence nothing doing

ΣΥΚΟΦΑΝΤΗΣ τῶν τῆς πόλεώς εἰμ᾽ ἐπιμελητὴς πραγμάτων
of-the of-the city I-am overseer affairs
καὶ τῶν ἰδίων πάντων. ΔΙΚΑΙΟΣ σύ; τί μαθών;
and of-the private all you what having-learned
ΣΥΚΟΦΑΝΤΗΣ βούλομαι.
I-wish
ΔΙΚΑΙΟΣ πῶς οὖν ἂν εἴης χρηστὸς ὦ τοιχωρύχε,
how then — could-you-be good O housebreaker
910 εἴ σοι προσῆκον μηδὲν εἶτ᾽ ἀπεχθάνει;
if to-you it-being-one's-business nothing then you-make-yourself-hated
ΣΥΚΟΦΑΝΤΗΣ οὐ γὰρ προσήκει τὴν ἐμαυτοῦ μοι πόλιν
not for it-concerns the my-own me city
εὐεργετεῖν ὦ κέπφε καθ᾽ ὅσον ἂν σθένω;
to-benefit O booby according-to as-much-as — I-am-able
ΔΙΚΑΙΟΣ εὐεργετεῖν οὖν ἐστι τὸ πολυπραγμονεῖν;
to-benefit then is the to-be-a-busybody
ΣΥΚΟΦΑΝΤΗΣ τὸ μὲν οὖν βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις
the indeed then to-help the laws the established
915 καὶ μὴ ᾽πιτρέπειν ἐάν τις ἐξαμαρτάνῃ.
and not to-permit if anyone do-wrong
ΔΙΚΑΙΟΣ οὔκουν δικαστὰς ἐξεπίτηδες ἡ πόλις
not-then judges on-purpose the city
ἄρχειν καθίστησιν; ΣΥΚΟΦΑΝΤΗΣ κατηγορεῖ δὲ τίς;
to-rule establishes accuses and who
ΔΙΚΑΙΟΣ ὁ βουλόμενος. ΣΥΚΟΦΑΝΤΗΣ οὐκοῦν ἐκεῖνός εἰμ᾽ ἐγώ,
the-one wishing therefore that-one am I
ὥστ᾽ εἰς ἔμ᾽ ἥκει τῆς πόλεως τὰ πράγματα.
so-that to me come of-the city the affairs

ΔΙΚΑΙΟΣ νὴ Δία πονηρόν γ' ἆρα προστάτην ἔχει. 920
by Zeus a-wicked at-least then leader it-has
ἐκεῖνο δ' οὐ βούλοι' ἄν, ἡσυχίαν ἔχων
that and not would-you-wish — quiet keeping
ζῆν ἀργός; ΣΥΚΟΦΑΝΤΗΣ ἀλλὰ προβατίου βίον λέγεις,
to-live idle but of-a-little-sheep life you-say
εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
if not will-appear pastime some for-the life
ΔΙΚΑΙΟΣ οὐδ' ἂν μεταμάθοις; ΣΥΚΟΦΑΝΤΗΣ οὐδ' ἂν
nor — would-you-unlearn not-even —
εἰ δοίης γέ μοι
if you-should-give at-least me
τὸν Πλοῦτον αὐτὸν καὶ τὸ Βάττου σίλφιον. 925
— Wealth himself and the of-Battus silphium
ΔΙΚΑΙΟΣ κατάθου ταχέως θοἰμάτιον. ΚΑΡΙΩΝ οὗτος, σοὶ λέγει.
put-down quickly the-cloak you-there to-you he-speaks
ΔΙΚΑΙΟΣ ἔπειθ' ὑπόλυσαι. ΚΑΡΙΩΝ ταῦτα πάντα σοὶ λέγει.
then take-off these all to-you he-speaks
ΣΥΚΟΦΑΝΤΗΣ καὶ μὴν προσελθέτω πρὸς ἔμ' ὑμῶν ἐνθαδὶ
and truly let-him-come to me of-you here
ὁ βουλόμενος. ΚΑΡΙΩΝ οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
the-one wishing therefore that-one am I
ΣΥΚΟΦΑΝΤΗΣ οἴμοι τάλας ἀποδύομαι μεθ' ἡμέραν. 930
ah-me wretched I-am-stripped by day
ΚΑΡΙΩΝ σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐσθίειν.
you for claim others'-business doing to-eat
ΣΥΚΟΦΑΝΤΗΣ ὁρᾷς ἃ ποιεῖς; ταῦτ' ἐγὼ μαρτύρομαι.
you-see what you-do these-things I call-to-witness
ΔΙΚΑΙΟΣ ἀλλ' οἴχεται φεύγων ὃν ἦγες μάρτυρα.
but is-gone fleeing whom you-brought as-witness

ΣΥΚΟΦΑΝΤΗΣ οἴμοι περιείλημμαι μόνος. ΚΑΡΙΩΝ νυνὶ βοᾷς;
ah-me I-am-caught alone now you-shout

935 ΣΥΚΟΦΑΝΤΗΣ οἴμοι μάλ' αὖθις. ΚΑΡΙΩΝ δὸς σύ μοι τὸ τριβώνιον,
ah-me very again give you me the little-cloak

ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
so-that I-may-clothe the informer this-one

ΔΙΚΑΙΟΣ μὴ δῆθ'· ἱερὸν γάρ ἐστι τοῦ Πλούτου πάλαι.
not indeed sacred for it-is — of-Wealth long-since

ΚΑΡΙΩΝ ἔπειτα ποῦ κάλλιον ἀνατεθήσεται
then where more-finely will-it-be-dedicated

ἢ περὶ πονηρὸν ἄνδρα καὶ τοιχωρύχον;
than about a-wicked man and housebreaker

940 Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
Wealth and to-adorn with-cloaks stately befits

ΔΙΚΑΙΟΣ τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; εἰπέ μοι.
the and little-shoes what will-use anyone tell me

ΚΑΡΙΩΝ καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα
also these to the forehead at-once indeed very

ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτῳί.
as to-a-wild-olive I-will-nail to-this-one

ΣΥΚΟΦΑΝΤΗΣ ἄπειμι· γιγνώσκω γὰρ ἥττων ὢν πολὺ
I-will-go-away I-know for weaker being much

945 ὑμῶν· ἐὰν δὲ σύζυγον λάβω τινὰ
than-you if and a-yokefellow I-get some

καὶ σύκινον, τοῦτον τὸν ἰσχυρὸν θεὸν
and fig-wood this the strong god

ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην,
I will-make today to-pay penalty

ὁτιὴ καταλύει περιφανῶς εἷς ὢν μόνος
because he-overthrows manifestly one being alone

τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν
the democracy neither the council having-persuaded
τὴν τῶν πολιτῶν οὔτε τὴν ἐκκλησίαν. 950
the of-the citizens nor the assembly
ΔΙΚΑΙΟΣ καὶ μὴν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
and truly since the panoply the my
ἔχων βαδίζεις, ἐς τὸ βαλανεῖον τρέχε·
having you-go to the bath run
ἔπειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς θέρου.
then there leader-of-the-chorus standing warm-yourself
κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
and-I for had the station this once
ΚΑΡΙΩΝ ἀλλ' ὁ βαλανεὺς ἕλξει θύραζ' αὐτὸν λαβὼν 955
but the bath-man will-drag out-of-doors him having-taken
τῶν ὀρχιπέδων· ἰδὼν γὰρ αὐτὸν γνώσεται
by-the testicles having-seen for him he-will-know
ὅτι ἔστ' ἐκείνου τοῦ πονηροῦ κόμματος.
that he-is of-that the bad coinage
νὼ δ' εἰσίωμεν, ἵνα προσεύξῃ τὸν θεόν.
we-two and let-us-go-in so-that you-may-pray-to the god

An old woman complains that the young man she kept in clothes and money has dropped her now that he is rich, and recounts his old endearments and requests. He arrives garlanded, mocks her age, and is persuaded to go in with her.

ΓΡΑΤΣ ἆρ᾽ ὦ φίλοι γέροντες ἐπὶ τὴν οἰκίαν
— O dear old-men to the house
ἀφίγμεθ᾽ ὄντως τοῦ νέου τούτου θεοῦ,
have-we-arrived truly of-the new this god
ἢ τῆς ὁδοῦ τὸ παράπαν ἡμαρτήκαμεν;
or of-the road the at-all have-we-missed
ΧΟΡΟΣ ἀλλ᾽ ἴσθ᾽ ἐπ᾽ αὐτὰς τὰς θύρας ἀφιγμένη
but know at very the doors having-arrived
ὦ μειρακίσκη· πυνθάνει γὰρ ὡρικῶς.
O little-girl you-ask for in-a-youthful-way
ΓΡΑΤΣ φέρε νυν ἐγὼ τῶν ἔνδοθεν καλέσω τινά.
come now I of-those inside will-call someone
ΧΡΕΜΥΛΟΣ μὴ δῆτ᾽· ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
not then I for myself have-come-out
ἀλλ᾽ ὅ τι μάλιστ᾽ ἐλήλυθας λέγειν σ᾽ ἐχρῆν.
but what thing most you-have-come to-say you it-was-needful
ΓΡΑΤΣ πέπονθα δεινὰ καὶ παράνομ᾽ ὦ φίλτατε·
I-have-suffered terrible-things and lawless O dearest
ἀφ᾽ οὗ γὰρ ὁ θεὸς οὗτος ἤρξατο βλέπειν,
from when for the god this began to-see
ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.
unlivable to-be for-me he-has-made the life

ΧΡΕΜΥΛΟΣ τί δ' ἔστιν; ἦ που καὶ σὺ συκοφάντρια
what and is-it truly I-suppose also you an-informer-woman
ἐν ταῖς γυναιξὶν ἦσθα; ΓΡΑΥΣ μὰ Δί' ἐγὼ μὲν οὔ.
among the women were-you by Zeus I indeed not
ΧΡΕΜΥΛΟΣ ἀλλ' οὐ λαχοῦσ' ἔπινες ἐν τῷ γράμματι;
but not having-drawn-the-lot you-drank in the letter
ΓΡΑΥΣ σκώπτεις· ἐγὼ δὲ κατακέκνισμαι δεινὰ κρα.
you-mock I and have-been-tickled wretched
ΧΡΕΜΥΛΟΣ οὔκουν ἐρεῖς ἀνύσασα τὸν κνισμὸν τίνα;
not-then you-will-say quickly the tickling what
ΓΡΑΥΣ ἄκουέ νυν. ἦν μοί τι μειράκιον φίλον,
listen now there-was to-me a young-man dear
πενιχρὸν μέν, ἄλλως δ' εὐπρόσωπον καὶ καλὸν
poor indeed otherwise and good-looking and handsome
καὶ χρηστόν· εἰ γάρ του δεηθείην ἐγώ,
and good if for anything I-should-need I
ἅπαντ' ἐποίει κοσμίως μοι καὶ καλῶς·
all-things he-did orderly for-me and finely
ἐγὼ δ' ἐκείνῳ πάντα ταῦθ' ὑπηρέτουν.
I and to-him all these-things served
ΧΡΕΜΥΛΟΣ τί δ' ἦν ὅ τι σου μάλιστ' ἐδεῖθ' ἑκάστοτε;
what and was-it what thing of-you most he-asked every-time
ΓΡΑΥΣ οὐ πολλά· καὶ γὰρ ἐκνομίως μ' ἠσχύνετο.
not many-things and for extraordinarily me he-respected
ἀλλ' ἀργυρίου δραχμὰς ἂν ἤτησ' εἴκοσιν
but of-silver drachmas — he-would-ask twenty
εἰς ἱμάτιον, ὀκτὼ δ' ἂν εἰς ὑποδήματα·
for a-cloak eight and — for shoes
καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
and for-the sisters to-buy a-little-tunic

ἐκέλευσεν ἂν τῇ μητρί θ' ἱματίδιον·
he-would-bid — for-the mother and a-little-cloak
πυρῶν τ' ἂν ἐδεήθη μεδίμνων τεττάρων.
of-wheat and — he-would-ask medimni four
ΧΡΕΜΥΛΟΣ οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γε
not many-things well-then by — Apollo these at-least
εἴρηκας, ἀλλὰ δῆλον ὅτι σ' ἠσχύνετο.
you-have-said but clear that you he-respected
ΓΡΑΥΣ καὶ ταῦτα τοίνυν οὐχ ἕνεκα μισητίας
and these-things well-then not for-the-sake-of lust
αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας οὕνεκα,
to-ask me he-said but of-love for-the-sake
ἵνα τοὐμὸν ἱμάτιον φορῶν μεμνῆτό μου.
so-that the-my cloak wearing he-might-remember me
ΧΡΕΜΥΛΟΣ λέγεις ἐρῶντ' ἄνθρωπον ἐκνομιώτατα.
you-say in-love a-fellow most-extraordinarily
ΓΡΑΥΣ ἀλλ' οὐχὶ νῦν ὁ βδελυρὸς ἔτι τὸν νοῦν ἔχει
but not now the loathsome-one still the mind has
τὸν αὐτόν, ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
the same but much he-has-changed very
ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τουτονὶ
me for to-him the cake this
καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
and the-other the-on the dish sweetmeats
ἐπόντα πεμψάσης ὑπειπούσης θ' ὅτι
lying having-sent having-hinted and that
εἰς ἑσπέραν ἥξοιμι — ΧΡΕΜΥΛΟΣ τί σ' ἔδρασ'; εἰπέ μοι.
at evening I-would-come what you he-did tell me

ΓΡΑΥΣ ἄμητα προσαπέπεμψεν ἡμῖν τουτονί,
milk-cake he-sent-back-besides to-us this
ἐφ' ᾧ τ' ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι,
on which and there never me to-come again
καὶ πρὸς ἐπὶ τούτοις εἶπεν ἀποπέμπων ὅτι
and besides in-addition-to these he-said sending-away that
"πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι."
long-ago once were valiant Milesians
ΧΡΕΜΥΛΟΣ δῆλον ὅτι τοὺς τρόπους τις οὐ μοχθηρὸς ἦν,
clear that the ways some not wicked was
ἔπειτα πλουτῶν οὐκέθ' ἥδεται φακῇ·
then being-rich no-longer is-pleased with-lentil-soup
πρὸ τοῦ δ' ὑπὸ τῆς πενίας ἅπανθ' ὑπήσθιεν.
before this and from the poverty all-things he-ate-up
ΓΡΑΥΣ καὶ μὴν πρὸ τοῦ γ' ὁσημέραι νὴ τὼ θεὼ
and truly before this at-least daily by the two-goddesses
ἐπὶ τὴν θύραν ἐβάδιζεν ἀεὶ τὴν ἐμήν.
to the door he-walked always the my
ΧΡΕΜΥΛΟΣ ἐπ' ἐκφοράν; ΓΡΑΥΣ μὰ Δί' ἀλλὰ τῆς φωνῆς μόνον
to burial by Zeus but of-the voice only
ἐρῶν ἀκοῦσαι. ΧΡΕΜΥΛΟΣ τοῦ λαβεῖν μὲν οὖν χάριν.
longing to-hear for-the to-get indeed then sake
ΓΡΑΥΣ καὶ νὴ Δί' εἰ λυπουμένην γ' αἴσθοιτό με,
and by Zeus if grieving at-least he-perceived me
νηττάριον ἂν καὶ φάττιον ὑπεκορίζετο.
little-duck — and little-dove he-called-me
ΧΡΕΜΥΛΟΣ ἔπειτ' ἴσως ᾔτει σ' ἂν εἰς ὑποδήματα.
then perhaps he-asked you — for shoes

ΓΡΑΤΣ μυστηρίοις δὲ τοῖς μεγάλοις ὀχουμένην
at-the-Mysteries and the great riding
ἐπὶ τῆς ἁμάξης ὅτι προσέβλεψέν μέ τις,
on the wagon because looked-at me someone
ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν.
I-was-beaten because-of this whole the day
οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
so very jealous the young-man was
ΧΡΕΜΥΛΟΣ μόνος γὰρ ἥδεθ', ὡς ἔοικεν, ἐσθίων.
alone for he-was-pleased as it-seems eating
ΓΡΑΤΣ καὶ τάς γε χεῖρας παγκάλας ἔχειν μ' ἔφη.
and the at-least hands most-beautiful to-have me he-said
ΧΡΕΜΥΛΟΣ ὁπότε προτείνοιέν γε δραχμὰς εἴκοσιν.
whenever they-held-out at-least drachmas twenty
ΓΡΑΤΣ ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μου.
to-smell and of-the skin he-said sweet of-me
ΧΡΕΜΥΛΟΣ εἰ Θάσιον ἐνέχεις, εἰκότως γε νὴ Δία.
if Thasian you-pour-in reasonably at-least by Zeus
ΓΡΑΤΣ τὸ βλέμμα θ' ὡς ἔχοιμι μαλακὸν καὶ καλόν.
the look and that I-had soft and fine
ΧΡΕΜΥΛΟΣ οὐ σκαιὸς ἦν ἄνθρωπος, ἀλλ' ἠπίστατο
not stupid was the-fellow but knew-how
γραὸς καπρώσης τἀφόδια κατεσθίειν.
of-old-woman lusting the-provisions to-eat-up
ΓΡΑΤΣ ταῦτ' οὖν ὁ θεὸς ὦ φίλ' ἄνερ οὐκ ὀρθῶς ποιεῖ,
these-things then the god O dear man not rightly does
φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
saying to-help those wronged always
ΧΡΕΜΥΛΟΣ τί γὰρ ποιήσει; φράζε, καὶ πεπράξεται.
what for will-he-do tell and it-will-be-done

ΓΡΑΥΣ ἀναγκάσαι δίκαιόν ἐστι νὴ Δία
to-compel just is by Zeus
τὸν εὖ παθόνθ' ὑπ' ἐμοῦ πάλιν μ' ἀντευποιεῖν,
the-one well having-been-treated by me again me to-do-good-in-return
ἢ μηδ' ὁτιοῦν ἀγαθὸν δίκαιόν ἐστ' ἔχειν. 1030
or not-even anything good just is to-have
ΧΡΕΜΥΛΟΣ οὔκουν καθ' ἑκάστην ἀπεδίδου τὴν νύκτα σοι;
not-then by each he-repaid the night you
ΓΡΑΥΣ ἀλλ' οὐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
but never me alive to-leave he-said
ΧΡΕΜΥΛΟΣ ὀρθῶς γε· νῦν δέ γ' οὐκέτι ζῆν σ' οἴεται.
rightly at-least now and at-least no-longer to-live you he-thinks
ΓΡΑΥΣ ὑπὸ τοῦ γὰρ ἄλγους κατατέτηκ' ὦ φίλτατε.
from the for pain I-have-wasted-away O dearest
ΧΡΕΜΥΛΟΣ οὐκ ἀλλὰ κατασέσηπας, ὥς γ' ἐμοὶ δοκεῖς. 1035
no but you-have-rotted-away as at-least to-me you-seem
ΓΡΑΥΣ διὰ δακτυλίου μὲν οὖν ἔμεγ' ἂν διελκύσαις.
through a-ring indeed then me — you-could-draw
ΧΡΕΜΥΛΟΣ εἰ τυγχάνοι γ' ὁ δακτύλιος ὢν τηλία.
if happened at-least the ring being a-hoop
ΓΡΑΥΣ καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχεται,
and truly the young-man this approaches
οὗπερ πάλαι κατηγοροῦσα τυγχάνω·
whom long-since accusing I-happen
ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν. ΧΡΕΜΥΛΟΣ φαίνεται. 1040
he-seems and to revel to-go he-appears
στέφανόν γέ τοι καὶ δᾷδ' ἔχων πορεύεται.
a-garland at-least surely and torch having goes

ΝΕΑΝΙΑΣ ἀσπάζομαί σε. ΓΡΑΥΣ τί φησιν; ΝΕΑΝΙΑΣ ἀρχαία φίλη,
I-greet you what says-she ancient friend
πολιὰ γεγένησαι ταχύ γε νὴ τὸν οὐρανόν.
gray you-have-become quickly at-least by the heaven
ΓΡΑΥΣ τάλαιν' ἐγὼ τῆς ὕβρεος ἧς ὑβρίζομαι.
wretched I of-the insult with-which I-am-insulted
ΧΡΕΜΥΛΟΣ ἔοικε διὰ πολλοῦ χρόνου σ' ἑορακέναι.
he-seems after long time you to-have-seen
ΓΡΑΥΣ ποίου χρόνου ταλάνταθ', ὃς παρ' ἐμοὶ χθὲς ἦν;
what time most-wretched who with me yesterday was
ΧΡΕΜΥΛΟΣ τοὐναντίον πέπονθε τοῖς πολλοῖς ἄρα·
the-opposite has-suffered to-the many then
μεθύων γάρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.
drunk for as it-seems sharper he-sees
ΓΡΑΥΣ οὔκ, ἀλλ' ἀκόλαστός ἐστιν ἀεὶ τοὺς τρόπους.
no but intemperate he-is always in-the ways
ΝΕΑΝΙΑΣ ὦ Ποντοπόσειδον καὶ θεοὶ πρεσβυτικοί,
O Pontoposeidon and gods aged
ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει.
in the face of-the wrinkles how-many she-has
ΓΡΑΥΣ ἆ ἆ,
ah ah
τὴν δᾷδα μή μοι πρόσφερ'. ΧΡΕΜΥΛΟΣ εὖ μέντοι λέγει.
the torch not to-me bring-near well however she-says
ἐὰν γὰρ αὐτὴν εἷς μόνος σπινθὴρ λάβῃ
if for her one only spark catch
ὥσπερ παλαιὰν εἰρεσιώνην καύσεται.
like an-old harvest-wreath she-will-burn
ΝΕΑΝΙΑΣ βούλει διὰ χρόνου πρός με παῖσαι; ΓΡΑΥΣ ποῖ τάλαν;
do-you-wish after time with me to-play where wretch

ΝΕΑΝΙΑΣ αὐτοῦ, λαβοῦσα κάρυα. ΓΡΑΤΣ παιδιὰν τίνα;
here having-taken nuts game what

ΝΕΑΝΙΑΣ πόσους ἔχεις ὀδόντας. ΧΡΕΜΥΛΟΣ ἀλλὰ γνώσομαι
how-many you-have teeth but I-shall-guess

κἄγωγ'· ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.
and-I she-has for three perhaps or four

ΝΕΑΝΙΑΣ ἀπότεισον· ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
pay-up one for molar only she-wears

ΓΡΑΤΣ ταλάντατ' ἀνδρῶν οὐχ ὑγιαίνειν μοι δοκεῖς, 1060
most-wretched of-men not to-be-sane to-me you-seem

πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
a-washing me making among so-many men

ΝΕΑΝΙΑΣ ὄναιο μέντἄν, εἴ τις ἐκπλύνειέ σε.
you-would-benefit however if someone should-wash-out you

ΧΡΕΜΥΛΟΣ οὐ δῆτ', ἐπεὶ νῦν μὲν καπηλικῶς ἔχει,
not then since now indeed tavern-like she-is

εἰ δ' ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
if and is-washed-off this the white-lead

ὄψει κατάδηλα τοῦ προσώπου τὰ ῥάκη. 1065
you-will-see quite-plain of-the face the tatters

ΓΡΑΤΣ γέρων ἀνὴρ ὢν οὐχ ὑγιαίνειν μοι δοκεῖς.
old man being not to-be-sane to-me you-seem

ΝΕΑΝΙΑΣ πειρᾷ μὲν οὖν ἴσως σε καὶ τῶν τιτθίων
he-tries indeed then perhaps you and of-the breasts

ἐφάπτεταί σου λανθάνειν δοκῶν ἐμέ.
lays-hold of-you to-escape-notice thinking me

ΓΡΑΤΣ μὰ τὴν Ἀφροδίτην οὐκ ἐμοῦ γ' ὦ βδελυρὲ σύ.
by — Aphrodite not of-mine at-least O loathsome you

ΧΡΕΜΥΛΟΣ μὰ τὴν Ἑκάτην οὐ δῆτα· μαινοίμην γὰρ ἄν.
by — Hecate not then I-would-be-mad for —
ἀλλ' ὦ νεανίσκ' οὐκ ἐῶ τὴν μείρακα
but O young-man not I-allow the girl
μισεῖν σε ταύτην. ΝΕΑΝΙΑΣ ἀλλ' ἔγωγ' ὑπερφιλῶ.
to-hate you this-one but I-at-least love-exceedingly
ΧΡΕΜΥΛΟΣ καὶ μὴν κατηγορεῖ γέ σου. ΝΕΑΝΙΑΣ τί κατηγορεῖ;
and truly she-accuses at-least you of-what does-she-accuse
ΧΡΕΜΥΛΟΣ εἶναί σ' ὑβριστήν φησι καὶ λέγειν ὅτι
to-be you insolent she-says and to-say that
"πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι."
long-ago once were valiant Milesians
ΝΕΑΝΙΑΣ ἐγὼ περὶ ταύτης οὐ μαχοῦμαί σοι. ΧΡΕΜΥΛΟΣ τὸ τί;
I about her not will-fight you the what
ΝΕΑΝΙΑΣ αἰσχυνόμενος τὴν ἡλικίαν τὴν σήν, ἐπεὶ
respecting the age the your since
οὐκ ἄν ποτ' ἄλλῳ τοῦτ' ἐπέτρεψ' ἐγὼ ποιεῖν·
not — ever to-another this would-have-allowed I to-do
νῦν δ' ἄπιθι χαίρων συλλαβὼν τὴν μείρακα.
now and go-away rejoicing having-taken the girl
ΧΡΕΜΥΛΟΣ οἶδ' οἶδα τὸν νοῦν· οὐκέτ' ἀξιοῖς ἴσως
I-know I-know the mind no-longer you-deem perhaps
εἶναι μετ' αὐτῆς. ΓΡΑΥΣ ὁ δ' ἐπιτρέψων ἐστὶ τίς;
to-be with her he and going-to-allow is who
ΝΕΑΝΙΑΣ οὐκ ἂν διαλεχθείην διεσπλεκωμένῃ
not — I-would-converse with-one-who-has-been-screwed
ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων.
by ten-thousand years at-least and three-thousand

ΧΡΕΜΥΛΟΣ ὅμως δ' ἐπειδὴ καὶ τὸν οἶνον ἠξίους
nevertheless and since also the wine you-claimed
πίνειν, συνεκποτέ' ἐστί σοι καὶ τὴν τρύγα. 1085
to-drink must-be-drunk-up-with is by-you also the lees
ΝΕΑΝΙΑΣ ἀλλ' ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.
but she-is entirely lees old and rotten
ΧΡΕΜΥΛΟΣ οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.
therefore a-lees-strainer these-things all will-cure
ΝΕΑΝΙΑΣ ἀλλ' εἴσιθ' εἴσω· τῷ θεῷ γὰρ βούλομαι
but go inside to-the god for I-wish
ἐλθὼν ἀναθεῖναι τοὺς στεφάνους τούσδ' οὓς ἔχω.
having-gone to-dedicate the garlands these which I-have
ΓΡΑΥΣ ἐγὼ δέ γ' αὐτῷ καὶ φράσαι τι βούλομαι. 1090
I and at-least to-him also to-tell something wish
ΝΕΑΝΙΑΣ ἐγὼ δέ γ' οὐκ εἴσειμι. ΧΡΕΜΥΛΟΣ θάρρει, μὴ φοβοῦ.
I and at-least not will-go-in take-courage not fear
οὐ γὰρ βιάσεται. ΝΕΑΝΙΑΣ πάνυ καλῶς τοίνυν λέγεις.
not for she-will-force very well well-then you-say
ἱκανὸν γὰρ αὐτὴν πρότερον ὑπεπίττουν χρόνον.
enough for her before I-tarred-over time
ΓΡΑΥΣ βάδιζ'· ἐγὼ δέ σου κατόπιν εἰσέρχομαι.
go I and you behind go-in
ΧΡΕΜΥΛΟΣ ὡς εὐτόνως ὦ Ζεῦ βασιλεῦ τὸ γρᾴδιον 1095
how vigorously O Zeus king the little-old-woman
ὥσπερ λεπὰς τῷ μειρακίῳ προσείχετο.
like a-limpet to-the young-man clung

Hermes knocks, threatening the household on Zeus' behalf, but confesses that the gods are starving because no one sacrifices to them any longer. He begs for a place, and after offering his various titles is taken on as god of the games and set to washing tripe.

ΚΑΡΙΩΝ τίς ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
who is the-one knocking the door this-here what was-it
οὐδεὶς ἔοικεν· ἀλλὰ δῆτα τὸ θύριον
no-one it-seems but then the little-door
φθεγγόμενον ἄλλως κλαυσιᾷ. ΕΡΜΗΣ σέ τοι λέγω,
making-a-noise idly will-wail you surely I-mean
ὁ Καρίων, ἀνάμεινον. ΚΑΡΙΩΝ οὗτος εἰπέ μοι,
— Cario wait you-there tell me
σὺ τὴν θύραν ἔκοπτες οὑτωσὶ σφόδρα;
you the door were-knocking so very-hard
ΕΡΜΗΣ μὰ Δί' ἀλλ' ἔμελλον· εἶτ' ἀνέῳξάς με φθάσας.
by Zeus but I-was-about then you-opened me anticipating
ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ,
but call-out the master running quickly
ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία,
then the wife and the children
ἔπειτα τοὺς θεράποντας, εἶτα τὴν κύνα,
then the servants then the dog
ἔπειτα σαυτόν, εἶτα τὴν ὗν. ΚΑΡΙΩΝ εἰπέ μοι,
then yourself then the sow tell me
τί δ' ἔστιν; ΕΡΜΗΣ ὁ Ζεὺς ὦ πόνηρε βούλεται
what and is-it — Zeus O wretch wishes
ἐς ταὐτὸν ὑμᾶς συγκυκήσας τρύβλιον
into the-same you having-stirred-up a-bowl

ἁπαξάπαντας ἐς τὸ βάραθρον ἐμβαλεῖν.
all-together into the pit to-throw

ΚΑΡΙΩΝ ἡ γλῶττα τῷ κήρυκι τούτων τέμνεται.
the tongue to-the herald of-these is-cut

ἀτὰρ διὰ τί δὴ ταῦτ' ἐπιβουλεύει ποιεῖν
but because-of what indeed these-things plots to-do

ἡμᾶς; ΕΡΜΗΣ ὁτιὴ δεινότατα πάντων πραγμάτων
us because most-terrible of-all things

εἴργασθ'. ἀφ' οὗ γὰρ ἤρξατ' ἐξ ἀρχῆς βλέπειν
you-have-done from when for began from beginning to-see

ὁ Πλοῦτος, οὐδεὶς οὐ λιβανωτόν, οὐ δάφνην,
— Wealth no-one not frankincense not laurel

οὐ ψαιστόν, οὐχ ἱερεῖον, οὐκ ἄλλ' οὐδὲ ἓν
not cake not victim not other nor one-thing

ἡμῖν ἔτι θύει τοῖς θεοῖς. ΚΑΡΙΩΝ μὰ Δί' οὐδέ γε
to-us any-longer sacrifices to-the gods by Zeus nor at-least

θύσει. κακῶς γὰρ ἐπεμελεῖσθ' ἡμῶν τότε.
will-sacrifice badly for you-cared-for us then

ΕΡΜΗΣ καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει,
and the indeed other to-me gods less it-matters

ἐγὼ δ' ἀπόλωλα κἀπιτέτριμμαι. ΚΑΡΙΩΝ σωφρονεῖς.
I and am-ruined and-crushed you-are-sensible

ΕΡΜΗΣ πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσιν
before for I-had indeed with the tavern-women

πάντ' ἀγάθ' ἔωθεν εὐθύς, οἰνοῦτταν μέλι
all good-things from-dawn at-once wine-cake honey

ἰσχάδας, ὅσ' εἰκός ἐστιν Ἑρμῆν ἐσθίειν·
dried-figs as-many-as fitting it-is for-Hermes to-eat

νυνὶ δὲ πεινῶν ἀναβάδην ἀναπαύομαι.
now and hungry with-legs-up I-rest

ΚΑΡΙΩΝ οὔκουν δικαίως, ὅστις ἐποίεις ζημίαν
not-then justly who caused damage
ἐνίοτε τοιαῦτ' ἀγάθ' ἔχων; ΕΡΜΗΣ οἴμοι τάλας,
sometimes such good-things having ah-me wretched
οἴμοι πλακοῦντος τοῦ 'ν τετράδι πεπεμμένου.
ah-me for-the-cake the on-the fourth baked
ΚΑΡΙΩΝ ποθεῖς τὸν οὐ παρόντα καὶ μάτην καλεῖς.
you-long-for the not present and in-vain call
ΕΡΜΗΣ οἴμοι δὲ κωλῆς ἣν ἐγὼ κατήσθιον.
ah-me and for-the-ham which I used-to-eat
ΚΑΡΙΩΝ ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.
hop-on-the-wineskin here toward the open-air
ΕΡΜΗΣ σπλάγχνων τε θερμῶν ὧν ἐγὼ κατήσθιον.
of-entrails and hot which I used-to-eat
ΚΑΡΙΩΝ ὀδύνη σε περὶ τὰ σπλάγχν' ἔοικέ τι στρέφειν.
a-pain you about the entrails it-seems somewhat to-twist
ΕΡΜΗΣ οἴμοι δὲ κύλικος ἴσον ἴσῳ κεκραμένης.
ah-me and for-the-cup equal with-equal mixed
ΚΑΡΙΩΝ ταύτην ἐπιπιὼν ἀποτρέχων οὐκ ἂν φθάνοις.
this having-drunk-on running-away not — you-could-be-too-quick
ΕΡΜΗΣ ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;
— could-you-help — at-all the your-own friend
ΚΑΡΙΩΝ εἴ του δέει γ' ὧν δυνατός εἰμί σ' ὠφελεῖν.
if anything you-need at-least of-what able I-am you to-help
ΕΡΜΗΣ εἴ μοι πορίσας ἄρτον τιν' εὖ πεπεμμένον
if me having-provided bread some well baked
δοίης καταφαγεῖν καὶ κρέας νεανικὸν
you-would-give to-eat-up and meat lusty
ὧν θύεθ' ὑμεῖς ἔνδον. ΚΑΡΙΩΝ ἀλλ' οὐκ ἐκφορά.
of-what you-sacrifice you inside but not to-be-carried-out

ΕΡΜΗΣ καὶ μὴν ὁπότε τι σκευάριον τοῦ δεσπότου
and truly whenever any little-vessel of-the master
ὑφέλοι', ἐγώ σε λανθάνειν ἐποίουν ἀεί.
you-filched I you to-escape-notice made always
ΚΑΡΙΩΝ ἐφ' ᾧ τε μετέχειν καὐτὸς ὦ τοιχωρύχε.
on-condition that — to-share and-yourself O housebreaker
ἦκεν γὰρ ἄν σοι ναστὸς εὖ πεπεμμένος.
came for — to-you a-cake well baked
ΕΡΜΗΣ ἔπειτα τοῦτόν γ' αὐτὸς ἂν κατήσθιες.
then this at-least yourself — would-eat-up
ΚΑΡΙΩΝ οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοί,
not for you-shared the equal blows with-me
ὁπότε τι ληφθείην πανουργήσας ἐγώ.
whenever at-all I-was-caught having-played-the-villain I
ΕΡΜΗΣ μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
not bear-grudges if you Phyle took
ἀλλὰ ξύνοικον πρὸς θεῶν δέξασθέ με.
but as-housemate by gods receive me
ΚΑΡΙΩΝ ἔπειτ' ἀπολιπὼν τοὺς θεοὺς ἐνθάδε μενεῖς;
then having-left the gods here you-will-stay
ΕΡΜΗΣ τὰ γὰρ παρ' ὑμῖν ἐστι βελτίω πολύ.
the for with you are better much
ΚΑΡΙΩΝ τί δέ; ταὐτομολεῖν ἀστεῖον εἶναί σοι δοκεῖ;
what and the-deserting clever to-be to-you seems
ΕΡΜΗΣ πατρὶς γάρ ἐστι πᾶσ' ἵν' ἂν πράττῃ τις εὖ.
fatherland for is every where — fares anyone well
ΚΑΡΙΩΝ τί δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν;
what then — would-you-be of-use to-us here being
ΕΡΜΗΣ παρὰ τὴν θύραν στροφαῖον ἱδρύσασθέ με.
by the door hinge-god set-up me

ΚΑΡΙΩΝ στροφαῖον; ἀλλ᾽ οὐκ ἔργον ἔστ᾽ οὐδὲν στροφῶν.
hinge-god but not work is nothing of-twists

ΕΡΜΗΣ ἀλλ᾽ ἐμπολαῖον. ΚΑΡΙΩΝ ἀλλὰ πλουτοῦμεν· τί οὖν
but market-god but we-are-rich what then

Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;
Hermes huckster us must feed

ΕΡΜΗΣ ἀλλὰ δόλιον τοίνυν. ΚΑΡΙΩΝ δόλιον; ἥκιστά γε·
but trickster well-then trickster least at-least

οὐ γὰρ δόλου νῦν ἔργον, ἀλλ᾽ ἁπλῶν τρόπων.
not for of-trickery now work but of-simple ways

ΕΡΜΗΣ ἀλλ᾽ ἡγεμόνιον. ΚΑΡΙΩΝ ἀλλ᾽ ὁ θεὸς ἤδη βλέπει,
but guide but the god already sees

ὥσθ᾽ ἡγεμόνος οὐδὲν δεησόμεσθ᾽ ἔτι.
so-that of-a-guide nothing we-shall-need any-longer

ΕΡΜΗΣ ἐναγώνιος τοίνυν ἔσομαι. τί δῆτ᾽ ἐρεῖς;
of-the-Games well-then I-shall-be what then will-you-say

Πλούτῳ γάρ ἐστι τοῦτο συμφορώτατον
for-Wealth for is this most-advantageous

ποιεῖν ἀγῶνας μουσικοὺς καὶ γυμνικούς.
to-hold contests musical and gymnastic

ΚΑΡΙΩΝ ὡς ἀγαθόν ἐστ᾽ ἐπωνυμίας πολλὰς ἔχειν·
how good it-is titles many to-have

οὗτος γὰρ ἐξηύρηκεν αὑτῷ βιότιον.
this-one for has-found for-himself a-living

οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ
not without-reason all those judging often

σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.
hurry in many to-be-entered letters

ΕΡΜΗΣ οὐκοῦν ἐπὶ τούτοις εἰσίω; ΚΑΡΙΩΝ καὶ πλῦνέ γε
therefore on these-terms let-me-go-in and wash at-least
αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ τὰς κοιλίας,
yourself having-gone to the well the guts
ἵν' εὐθέως διακονικὸς εἶναι δοκῇς. 1170
so-that at-once serviceable to-be you-may-seem

XII · THE PRIEST OF ZEUS

The priest of Zeus the Savior comes hungry, since no one sacrifices any longer, and asks to join the household. Chremylus announces that Zeus the Savior himself is here, and orders the procession to install Wealth in Athena's back chamber on the Acropolis, the priest leading with torches and the old woman carrying the pots on her head.

ΙΕΡΕΥΣ τίς ἂν φράσειε ποῦ 'στι Χρεμύλος μοι σαφῶς;
who — could-tell where is Chremylus to-me clearly
ΧΡΕΜΥΛΟΣ τί δ' ἔστιν ὦ βέλτιστε;
what and is-it O best
ΙΕΡΕΥΣ τί γὰρ ἀλλ' ἢ κακῶς;
what for but only badly
ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,
from when for — Wealth this began to-see
ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω,
I-am-ruined by hunger to-eat for not I-have
καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός. 1175
and this of-the savior priest being Zeus
ΧΡΕΜΥΛΟΣ ἡ δ' αἰτία τίς ἐστιν ὦ πρὸς τῶν θεῶν;
the and cause what is-it O by the gods
ΙΕΡΕΥΣ θύειν ἔτ' οὐδεὶς ἀξιοῖ. ΧΡΕΜΥΛΟΣ τίνος οὕνεκα;
to-sacrifice any-longer no-one thinks-fit for-what sake

ΙΕΡΕΥΣ ὅτι πάντες εἰσὶ πλούσιοι· καίτοι τότε,
because all are rich and-yet then
ὅτ' εἶχον οὐδέν, ὁ μὲν ἂν ἥκων ἔμπορος
when they-had nothing the-one indeed — coming merchant
ἔθυσεν ἱερεῖόν τι σωθείς, ὁ δέ τις ἂν
sacrificed a-victim some having-been-saved the-other and some —
δίκην ἀποφυγών, ὁ δ' ἂν ἐκαλλιερεῖτό τις
a-suit having-escaped the-other and — got-good-omens one
κἀμέ γ' ἐκάλει τὸν ἱερέα· νῦν δ' οὐδὲ εἷς
and-me at-least invited the priest now and not-even one
θύει τὸ παράπαν οὐδὲν οὐδ' εἰσέρχεται,
sacrifices the at-all nothing nor comes-in
πλὴν ἀποπατησόμενοί γε πλεῖν ἢ μύριοι.
except going-to-relieve-themselves at-least more than ten-thousand
ΧΡΕΜΥΛΟΣ οὔκουν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;
not-then the customary-portions you of-these get
ΙΕΡΕΥΣ τὸν οὖν Δία τὸν σωτῆρα καὐτός μοι δοκῶ
— then Zeus the savior and-myself to-me I-seem
χαίρειν ἐάσας ἐνθάδ' αὐτοῦ καταμένειν.
to-say-farewell having-let here at-this-spot to-stay
ΧΡΕΜΥΛΟΣ θάρρει· καλῶς ἔσται γάρ, ἢν θεὸς θέλῃ.
take-courage well it-will-be for if god will
ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεστιν ἐνθάδε,
— Zeus the savior for is-present here
αὐτόματος ἥκων. ΙΕΡΕΥΣ πάντ' ἀγαθὰ τοίνυν λέγεις.
of-his-own-accord having-come all good-things well-then you-say
ΧΡΕΜΥΛΟΣ ἱδρυσόμεθ' οὖν αὐτίκα μάλ', ἀλλὰ περίμενε
we-shall-install then at-once very but wait
τὸν Πλοῦτον, οὗπερ πρότερον ἦν ἱδρυμένος
— Wealth where-indeed before he-was installed

τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
the back-chamber always guarding of-the goddess
ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
but let-hand-out someone here torches lighted
ἵν' ἔχων προηγῇ τῷ θεῷ σύ. ΙΕΡΕΥΣ πάνυ μὲν οὖν
so-that having-them you-may-lead-before the god you very indeed then
δρᾶν ταῦτα χρή. ΧΡΕΜΥΛΟΣ τὸν Πλοῦτον ἔξω τις κάλει.
to-do these-things it-is-needful — Wealth out someone call
ΓΡΑΥΣ ἐγὼ δὲ τί ποιῶ; ΧΡΕΜΥΛΟΣ τὰς χύτρας, αἷς τὸν θεὸν
I and what do-I-do the pots with-which the god
ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε
we-shall-install having-taken on the head carry
σεμνῶς· ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.
solemnly holding and you-came yourself embroidered
ΓΡΑΥΣ ὧν δ' οὕνεκ' ἦλθον; ΧΡΕΜΥΛΟΣ πάντα σοι πεπράξεται.
of-what and for-the-sake I-came all for-you will-be-done
ἥξει γὰρ ὁ νεανίσκος ὡς σ' εἰς ἑσπέραν.
will-come for the young-man to you toward evening
ΓΡΑΥΣ ἀλλ' εἴ γε μέντοι νὴ Δί' ἐγγυᾷ σύ μοι
but if at-least however by Zeus you-guarantee you to-me
ἥξειν ἐκεῖνον ὡς ἔμ', οἴσω τὰς χύτρας.
to-come that-one to me I-will-carry the pots
ΧΡΕΜΥΛΟΣ καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
and truly much than-the other pots the-opposite
αὗται ποιοῦσι· ταῖς μὲν ἄλλαις γὰρ χύτραις
these do in-the indeed other for pots
ἡ γραῦς ἔπεστ' ἀνωτάτω, ταύτης δὲ νῦν
the old-woman is-on uppermost of-this and now
τῆς γραὸς ἐπιπολῆς ἔπεισιν αἱ χύτραι.
the old-woman on-top are-on the pots

The chorus fall in behind the procession, singing as they go.

ΧΟΡΟΣ οὐκ ἔτι τοίνυν εἰκὸς μέλλειν
no longer well-then fitting to-delay
οὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
not-even us but to-withdraw
ἐς τοὔπισθεν· δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.
to the-rear it-is-needful for behind these singing to-follow

MENANDER

ΕΠΙΤΡΕΠΟΝΤΕΣ

The Arbitration

I · SMICRINES

Smicrines rails at his son-in-law Charisius, who took a dowry of four talents and now sleeps out, paying a pimp twelve drachmas a day for a harp-girl, more than a month's keep for a man. He goes in to learn how his daughter fares and plan his attack, and Chaerestratus and his companion go to tell Charisius, since a crowd of drunk young men is coming.

ΣΜΙΚΡΙΝΗΣ ἄνθρωπος οἶνον· αὐτὸ τοῦτ' ἐκπλήττομαι
the-fellow wine very this-thing I-am-struck-by
ἔγωγ'. ὑπὲρ δὲ τοῦ μεθύσκεσθ' οὐ λέγω·
I-at-least for and the getting-drunk not I-speak
ἀπιστίᾳ γάρ ἐσθ' ὅμοιον τοῦτό γε,
to-incredibility for is like this at-least
εἰ καὶ βιάζεται κοτύλην τις τοὐβολοῦ
if even forces a-half-pint someone at-the-obol
ὠνούμενος πίνειν ἑαυτόν. ΧΑΙΡΕΣΤΡΑΤΟΣ τοῦτ' ἐγώ 5
buying to-drink himself this I
προσέμενον· οὗτος ἐμπεσὼν διασκεδᾷ
expected this-one having-burst-in will-scatter
τὸν ἔρωτα. ΣΜΙΚΡΙΝΗΣ τί δ' ἐμοὶ τοῦτο; πάλιν οἰμώξεται.
the love what and to-me this again he-will-howl
προῖκα δὲ λαβὼν τάλαντα τέτταρ' ἀργύρου,
dowry and having-received talents four of-silver
οὐ τῆς γυναικὸς νένομιχ' αὐτὸν οἰκέτην·
not of-the wife he-has-thought himself a-servant
ἀπόκοιτός ἐστι· πορνοβοσκῷ δώδεκα 10
sleeping-out he-is to-a-pimp twelve

τῆς ἡμέρας δραχμὰς δίδωσι, ΧΑΙΡΕΣΤΡΑΤΟΣ δώδεκα.
of-the day drachmas he-gives twelve

πέπυστ' ἀκριβῶς οὑτοσὶ τὰ πράγματα.
he-has-learned exactly this-man the facts

ΣΜΙΚΡΙΝΗΣ μηνὸς διατροφὴν ἀνδρὶ καὶ πρὸς ἡμερῶν
of-a-month maintenance for-a-man and besides of-days

ἕξ. ΧΑΙΡΕΣΤΡΑΤΟΣ εὖ λελόγισται· δύ' ὀβολοὺς τῆς ἡμέρας,
six well it-is-reckoned two obols of-the day

ἱκανόν τι τῷ πεινῶντι πρὸς πτισάνην ποτέ.
sufficient something for-the hungry-man for barley-gruel ever

ΣΙΜΜΙΑΣ (?) Χαρίσιός σε προσμένει, Χαιρέστρατε.
Charisius you awaits Chaerestratus

τίς ὅδ' ἐστὶ δή, γλυκύταθ';
who this-one is indeed sweetest

ΧΑΙΡΕΣΤΡΑΤΟΣ ὁ τῆς νύμφης πατήρ.
the of-the bride father

ΣΙΜΜΙΑΣ τί γὰρ παθὼν ὡς ἄθλιός τις ἐργάτης
what for having-suffered as wretched some laborer

βλέπει σκύθρωφ', ὁ τρισκακοδαίμων;
looks sullen the thrice-unlucky

ΧΑΙΡΕΣΤΡΑΤΟΣ ψάλτριαν ***
harp-girl (lacuna)

ΧΑΙΡΕΣΤΡΑΤΟΣ οὕτως ἀγαθόν τι σοι γένοιτο. ΣΙΜΜΙΑΣ μὴ λέγε
so good something to-you may-happen not say

μάταιά γ' ΣΜΙΚΡΙΝΗΣ οὐκ εἰς κόρακας; οἰμώξει μακρά.
idle-things at-least not to crows you-will-howl long

ἀλλ' εἶμι νῦν εἴσω, σαφῶς τε πυθόμενος
but I-shall-go now inside clearly and having-learned

ὅπως ἔχει τὰ τῆς θυγατρός, βουλεύσομαι
how are the-affairs of-the daughter I-shall-plan

ὅντινα τρόπον πρὸς τοῦτον ἤδη προσβαλῶ.
in-what way against this-one now I-shall-attack

ΧΑΙΡΕΣΤΡΑΤΟΣ φράσωμεν αὐτῷ τοῦτον ἥκοντ' ἐνθάδε;
shall-we-tell him this-one having-come here

ΣΙΜΜΙΑΣ φράσωμεν. ΧΑΙΡΕΣΤΡΑΤΟΣ οἷον κίναδος, οἰκίαν ποεῖ
let-us-tell what-a fox the-house makes

διάστατον. ΣΙΜΜΙΑΣ πολλὰς ἐβουλόμην ἅμα.
divided many I-would-wish at-once

ΧΑΙΡΕΣΤΡΑΤΟΣ τί λέγεις; ΣΙΜΜΙΑΣ μίαν μὲν τὴν ἐφεξῆς.
what say-you one indeed the next

ΧΑΙΡΕΣΤΡΑΤΟΣ τὴν ἐμήν;
the my

ΣΙΜΜΙΑΣ τὴν σήν γ'. ἴωμεν δεῦρο πρὸς Χαρίσιον.
the yours at-least let-us-go here to Charisius

ΧΑΙΡΕΣΤΡΑΤΟΣ ἴωμεν, ὡς καὶ μειρακυλλίων ὄχλος
let-us-go since also of-young-fellows a-crowd

εἰς τὸν τόπον τις ἔρχεθ' ὑποβεβρεγμένων,
to the place some comes soaked

οἷς μὴ 'νοχλεῖν εὔκαιρον εἶναί μοι δοκεῖ.
whom not to-trouble timely to-be to-me it-seems

ΟΝΗΣΙΜΟΣ ἐπισφαλῆ μὲν πάντα τἀνθρώπει' ἐγὼ
uncertain indeed all the-human-things I

οἰόμενος εἶναι ***
thinking to-be (lacuna)

ὁ δεσπότης ***
the master (lacuna)

ὁ γέρων δ' ἐκεῖνος ὁ κατάρατος Σμικρίνης
the old-man and that the accursed Smicrines

οὐδὲ λόγον ἡμῶν οὐδ' ἐπιστροφὴν ἔχων ***
not-even account of-us nor regard having (lacuna)

τούτῳ τι ***
to-this something (lacuna)
κατὰ τὸ ***
by the (lacuna)

II · THE ARBITRATION

The charcoal-burner Syriscus and the goatherd Davus, quarreling over a foundling, ask a passing old man, Smicrines, to judge between them. Davus found the baby exposed with necklaces and other tokens, gave the child to Syriscus at his begging, and kept the trinkets. Syriscus argues that the tokens belong to the child, who may one day be found by them, as the heroes of tragedy were. Smicrines awards them to the child, and the protesting Davus hands them over to Syriscus, who goes through them with his wife.

ΣΤΡΙΣΚΟΣ φεύγεις τὸ δίκαιον. ΔΑΟΣ συκοφαντεῖς, δυστυχής.
you-flee the just you-play-the-informer wretch
ΣΤΡΙΣΚΟΣ οὐ δεῖ σ' ἔχειν τὰ μὴ σ'.
not it-is-needful you to-have the-things not yours
ΔΑΟΣ ἐπιτρεπτέον τινί
it-must-be-left to-someone
ἐστι περὶ τούτων. ΣΤΡΙΣΚΟΣ βούλομαι. ΔΑΟΣ κρινώμεθα.
is about these I-wish let-us-be-judged
ΣΤΡΙΣΚΟΣ τίς οὖν; ΔΑΟΣ ἐμοὶ μὲν πᾶς ἱκανός. δίκαια δὲ
who then for-me indeed every-one sufficient just-things and
πάσχω· τί γάρ σοι μετεδίδουν; ΣΤΡΙΣΚΟΣ τοῦτον λαβεῖν
I-suffer why for to-you did-I-share this to-take
βούλει κριτήν; ΔΑΟΣ ἀγαθῇ τύχῃ. ΣΤΡΙΣΚΟΣ πρὸς τῶν θεῶν,
you-wish a-judge with-good fortune by the gods
βέλτιστε, μικρὸν ἂν σχολάσαις ἡμῖν χρόνον;
best-sir a-little — could-you-spare us time

ΣΜΙΚΡΙΝΗΣ ὑμῖν; περὶ τίνος; ΣΤΡΙΣΚΟΣ ἀντιλέγομεν πρᾶγμά τι.
you about what we-dispute a-matter some

ΣΜΙΚΡΙΝΗΣ τί οὖν ἐμοὶ μέλει; ΣΤΡΙΣΚΟΣ κριτὴν τούτου τινὰ
what then to-me matters a-judge of-this some

ζητοῦμεν ἴσον· εἰ δή σε μηδὲν κωλύει,
we-seek fair if indeed you nothing hinders

διάλυσον ἡμᾶς. ΣΜΙΚΡΙΝΗΣ ὦ κάκιστ' ἀπολούμενοι,
settle us O most-vilely perishing

δίκας λέγοντες περιπατεῖτε, διφθέρας
suits arguing you-walk-about leather-jerkins

ἔχοντες; ΣΤΡΙΣΚΟΣ ἀλλ' ὅμως — τὸ πρᾶγμ' ἐστὶν βραχὺ
wearing but nevertheless the matter is short

καὶ ῥᾴδιον μαθεῖν, πάτερ, — δὸς τὴν χάριν.
and easy to-learn father give the favor

μὴ καταφρονήσῃς, πρὸς θεῶν. ἐν παντὶ δεῖ
not despise by gods on every it-is-needful

καιρῷ τὸ δίκαιον ἐπικρατεῖν ἁπανταχοῦ,
occasion the just to-prevail everywhere

καὶ τὸν παρατυγχάνοντα τούτου τοῦ μέρους
and the-one happening-by of-this the part

ἔχειν πρόνοιαν· κοινόν ἐστι τῷ βίῳ
to-have forethought common is to-the life

πάντων. ΔΑΟΣ μετρίῳ γε συμπέπλεγμαι ῥήτορι.
of-all with-a-moderate at-least I-have-become-entangled orator

τί γὰρ μετεδίδουν; ΣΜΙΚΡΙΝΗΣ ἐμμενεῖτ' οὖν, εἰπέ μοι,
why for did-I-share will-you-abide then tell me

οἷς ἂν δικάσω; ΣΤΡΙΣΚΟΣ ΚΑΙ ΔΑΟΣ πάντως.
by-what — I-judge in-any-case

ΣΜΙΚΡΙΝΗΣ ἀκούσομαι· τί γὰρ
I-will-listen what for

τὸ κωλύον; σὺ πρότερος, ὁ σιωπῶν, λέγε.
the hindering-thing you first the silent-one speak

ΔΑΟΣ μικρόν γ' ἄνωθεν, οὐ τὰ πρὸς τοῦτον μόνον
a-little at-least from-above not the-things toward this-one only

πραχθέν θ', ἵν' ᾖ σοι καὶ σαφῆ τὰ πράγματα —
done so-that it-may-be to-you also clear the facts

ἐν τῷ δάσει τῷ πλησίον τῶν χωρίων
in the thicket the near the farms

τούτων ἐποίμαινον τριακοστὴν ἴσως,
of-these I-was-pasturing the-thirtieth perhaps

βέλτιστε, ταύτην ἡμέραν αὐτὸς μόνος,
best-sir this day myself alone

κἀκκείμενον παιδάριον εὗρον νήπιον,
and-exposed a-little-child I-found infant

ἔχον δέραια καὶ τοιουτονί τινα
having necklaces and such some

κόσμον. ΣΤΡΙΣΚΟΣ περὶ τούτων ἐστίν. ΔΑΟΣ οὐκ ἐᾷ λέγειν.
ornament about these it-is not he-allows to-speak

ΣΜΙΚΡΙΝΗΣ ἐὰν λαλῇς μεταξύ, τῇ βακτηρίᾳ
if you-chatter in-between with-the stick
καθίξομαί σου. ΔΑΟΣ καὶ δικαίως. ΣΜΙΚΡΙΝΗΣ λέγε. ΔΑΟΣ λέγω.
I-will-strike you and justly speak I-speak
ἀνειλόμην. ἀπῆλθον οἴκαδ᾽ αὖτ᾽ ἔχων.
I-picked-up I-went-away home it having
τρέφειν ἔμελλον· ταῦτ᾽ ἔδοξέ μοι τότε.
to-rear I-intended this it-seemed to-me then
ἐν νυκτὶ βουλὴν δ᾽, ὅπερ ἅπασι γίγνεται,
in night counsel and which to-all happens
διδοὺς ἐμαυτῷ, διελογιζόμην. "ἐμοὶ
giving myself I-reasoned to-me
τί παιδοτροφίας καὶ κακῶν; πόθεν δ᾽ ἐγὼ
why of-child-rearing and of-troubles whence and I
τοσαῦτ᾽ ἀναλώσω; τί φροντίδων ἐμοί;"
so-much shall-spend what of-worries to-me
τοιουτοσί τις ἦν. ἐποίμαινον πάλιν
such-a-one some I-was I-was-pasturing again
ἕωθεν. ἦλθεν οὗτος — ἔστι δ᾽ ἀνθρακεύς —
at-dawn came this-one he-is and a-charcoal-burner
εἰς τὸν τόπον τὸν αὐτὸν ἐκπρίσων ἐκεῖ
to the place the same going-to-saw-out there
στελέχη. πρότερον δέ μοι συνήθης ἐγεγόνει.
stumps before and to-me acquainted he-had-become
ἐλαλοῦμεν ἀλλήλοις. σκυθρωπὸν ὄντα με
we-chatted with-one-another sullen being me
ἰδὼν "τί σύννους," φησί, "Δᾶος;" "τί γάρ;" ἐγώ,
having-seen why thoughtful says-he Davus why for I
"περίεργός εἰμι." καὶ τὸ πρᾶγμ᾽ αὐτῷ λέγω,
meddlesome am and the matter to-him I-tell

ὡς εὗρον, ὡς ἀνειλόμην. ὁ δὲ τότε μὲν
how I-found how I-picked-up he and then indeed
εὐθύς, πρὶν εἰπεῖν πάντ', ἐδεῖθ'· "οὕτω τί σοι
at-once before to-tell all-things begged so something to-you
ἀγαθὸν γένοιτο, Δᾶε," παρ' ἕκαστον λέγων,
good may-happen Davus at each-word saying
"ἐμοὶ τὸ παιδίον δός· οὕτως εὐτυχής,
to-me the little-child give so fortunate
οὕτως ἐλεύθερος. γυναῖκα," φησί, "γὰρ
so free a-wife he-says for
ἔχω. τεκούσῃ δ' ἀπέθανεν τὸ παιδίον" —
I-have to-her-having-borne and died the little-child
ταύτην λέγων, ἣ νῦν ἔχει τὸ παιδίον —
this-one meaning who now has the little-child
ΣΜΙΚΡΙΝΗΣ ἐδέου; ΔΑΟΣ Σύρισκ'. ΣΤΡΙΣΚΟΣ ἔγωγ'.
you-begged Syriscus I-at-least
ΔΑΟΣ ὅλην τὴν ἡμέραν
whole the day
κατέτριψε. λιπαροῦντι καὶ πείθοντί με
he-wore-out entreating and persuading me
ὑπεσχόμην. ἔδωκ'. ἀπῆλθεν, μυρία
I-promised I-gave he-went-away countless
εὐχόμενος ἀγαθά. λαμβάνων μου κατεφίλει
praying good-things taking my he-kissed
τὰς χεῖρας. ΣΜΙΚΡΙΝΗΣ ἐπόεις ταῦτ';
the hands you-did these-things
ΣΤΡΙΣΚΟΣ ἐπόουν ΔΑΟΣ ἀπηλλάγη.
I-did he-was-gone
μετὰ τῆς γυναικὸς περιτυχών μοι νῦν, ἄφνω
with the wife having-met me now suddenly

τὰ τότε συνεκτεθέντα τούτῳ — μικρὰ δὲ
the-things then exposed-with this-one small-things and
ἦν ταῦτα καὶ λῃρός τις, οὐθέν — ἀξιοῖ
were these and trash some nothing he-claims
ἀπολαμβάνειν, καὶ δεινὰ πάσχειν φήσ᾽ ὅτι
to-get-back and terrible-things to-suffer he-says that
οὐκ ἀποδίδωμ᾽, αὐτὸς δ᾽ ἔχειν ταῦτ᾽ ἀξιῶ.
not I-give-back myself and to-have these-things I-claim
ἐγὼ δέ γ᾽ αὐτόν φημι δεῖν ἔχειν χάριν
I and at-least him I-say it-is-needful to-have gratitude
οὗ μετέλαβεν δεόμενος· εἰ μὴ πάντα δὲ
for-what he-got begging if not all and
τούτῳ δίδωμ᾽, οὐκ ἐξετασθῆναί με δεῖ.
to-this-one I-give not to-be-examined me it-is-needful
εἰ καὶ βαδίζων εὗρεν ἅμ᾽ ἐμοὶ ταῦτα καὶ
if even walking he-had-found together-with me these-things and
ἦν κοινὸς Ἑρμῆς, τὸ μὲν ἂν οὗτος ἔλαβε δή,
it-was common Hermes the-one indeed — this-one would-have-taken indeed
τὸ δ᾽ ἐγώ· μόνου δ᾽ εὑρόντος, οὐ παρὼν σύ γε
the-other and I alone and having-found not present you at-least
ἅπαντ᾽ ἔχειν οἴει σε δεῖν, ἐμὲ δ᾽ οὐδὲ ἕν;
all to-have think-you you must me and not-even one-thing
τὸ πέρας· δέδωκά σοί τι τῶν ἐμῶν ἑκών·
the end I-gave you something of-the mine willingly
εἰ τοῦτ᾽ ἀρεστόν ἐστί σοι, καὶ νῦν ἔχε·
if this pleasing is to-you even now have-it
εἰ δ᾽ οὐκ ἀρέσκει, μετανοεῖς δ᾽, ἀπόδος πάλιν,
if and not it-pleases you-change-your-mind and give-back again
καὶ μηδὲν ἀδίκει μηδ᾽ ἐλαττοῦ. πάντα δέ,
and nothing wrong nor be-worsted all and

τὰ μὲν παρ᾽ ἑκόντος, τὰ δὲ κατισχύσαντά με,
the indeed from one-willing the and having-overpowered me
οὐ δεῖ σ᾽ ἔχειν. εἴρηκα τόν γ᾽ ἐμὸν λόγον.
not it-is-needful you to-have I-have-said the at-least my speech

ΣΤΡΙΣΚΟΣ εἴρηκεν; ΣΜΙΚΡΙΝΗΣ οὐκ ἤκουσας; εἴρηκεν.
he-has-spoken not did-you-hear he-has-spoken

ΣΤΡΙΣΚΟΣ καλῶς.
well

οὐκοῦν ἐγὼ μετὰ ταῦτα· μόνος εὗρ᾽ οὑτοσὶ
therefore I after these-things alone found this-man
τὸ παιδίον, καὶ πάντα ταῦθ᾽ ἃ νῦν λέγει
the little-child and all these which now he-says
ὀρθῶς λέγει, καὶ γέγονεν οὕτως, ὦ πάτερ.
rightly he-says and it-happened so O father
οὐκ ἀντιλέγω. δεόμενος, ἱκετεύων ἐγὼ
not I-contradict needing beseeching I
ἔλαβον παρ᾽ αὐτοῦ τοῦτ᾽· ἀληθῆ γὰρ λέγει.
I-took from him this true for he-says
ποιμήν τις ἐξήγγειλέ μοι, πρὸς ὃν οὑτοσὶ
a-shepherd some reported to-me to whom this-man
ἐλάλησε, τῶν τούτῳ συνέργων, ἅμα τινὰ
talked of-the to-this-one fellow-workers at-once some
κόσμον συνευρεῖν αὐτόν· ἐπὶ τοῦτον, πάτερ,
ornament to-have-found-with him for this-one father
αὐτὸς πάρεστιν οὑτοσί. — τὸ παιδίον
himself is-here this-one the little-child
δός μοι, γύναι. — τὰ δέραια καὶ γνωρίσματα
give me woman the necklaces and tokens
οὗτός σ᾽ ἀπαιτεῖ, Δᾶ᾽. ἑαυτῷ φησι γὰρ
this-one you demands Davus for-himself he-says for

ταῦτ᾽ ἐπιτεθῆναι κόσμον, οὐ σοὶ διατροφήν·
these to-have-been-put-on an-ornament not for-you maintenance
κἀγὼ συναπαιτῶ, κύριος γεγενημένος
and-I demand-with-him master having-become
τούτου· σὺ δ᾽ ἐπόησάς με δούς. νῦν γνωστέον, 90
of-this you and made me having-given now it-must-be-judged
βέλτιστέ, σοι ταῦτ᾽ ἐστίν, ὡς ἐμοὶ δοκεῖ·
best-sir for-you these-things are as to-me it-seems
τὰ χρυσί᾽ ἢ ταῦθ᾽ ὅ τί ποτ᾽ ἐστί, πότερα δεῖ
the gold-things or these what thing at-all is whether it-is-needful
κατὰ τὴν δόσιν τῆς μητρός, ἥτις ἦν ποτε,
according-to the gift of-the mother who was ever
τῷ παιδίῳ τηρεῖσθ᾽, ἕως ἂν ἐκτραφῇ,
for-the little-child to-be-kept until — he-be-reared
ἢ τὸν λελωποδυτηκότ᾽ αὐτὸν ταῦτ᾽ ἔχειν, 95
nothing absurd nor stupid so-that you-may-fare well
ΣΜΙΚΡΙΝΗΣ εἶθ᾽, οὑμός, ἱερόσυλε, νῦν τρόπος ποεῖ
then the-my temple-robber now character does
ἀμαθές τι; ΟΝΗΣΙΜΟΣ συντρίβει σε. ΣΜΙΚΡΙΝΗΣ τῆς παρρησίας.
stupid something smashes you of-the free-speech

ΟΝΗΣΙΜΟΣ ἀλλ᾽ ἀπαγαγεῖν παρ᾽ ἀνδρὸς αὑτοῦ θυγατέρα 890
but to-take-away from husband her-own a-daughter
ἀγαθὸν σὺ κρίνεις, Σμικρίνη; ΣΜΙΚΡΙΝΗΣ λέγει δὲ τίς
good you judge Smicrines says and who
τοῦτ᾽ ἀγαθόν; ἀλλὰ νῦν ἀναγκαῖον. ΟΝΗΣΙΜΟΣ θεᾷ;
this good but now necessary do-you-see
τὸ κακὸν ἀναγκαῖον λογίζεθ᾽ οὑτοσί.
the evil necessary reckons this-man-here
τοῦτόν τις ἄλλος, οὐχ ὁ τρόπος, ἀπολλύει.
this-one someone other not the character destroys
καὶ νῦν μὲν ὁρμῶντ᾽ ἐπὶ πονηρὸν πρᾶγμά σε 895
and now indeed rushing toward a-wicked deed you
ταὐτόματον ἀποσέσωκε, καὶ καταλαμβάνεις
the-chance has-saved and you-find
διαλλαγὰς λύσεις τ᾽ ἐκείνων τῶν κακῶν,
reconciliations releases and of-those the evils
αὖθις δ᾽ ὅπως μὴ λήψομαί σε, Σμικρίνη,
again and see-that not I-catch you Smicrines
προπετῆ, λέγω σοι. νῦν δὲ τῶν ἐγκλημάτων
rash I-say to-you now and the complaints
ἀφίεσο τούτων, τὸν δὲ θυγατριδοῦν λαβὼν 900
be-rid of-these the and grandson having-taken
ἔνδον πρόσειπε. ΣΜΙΚΡΙΝΗΣ θυγατριδοῦν, μαστιγία;
inside greet grandson whipping-post
ΟΝΗΣΙΜΟΣ παχύδερμος ἦσθα καὶ σύ, νοῦν ἔχειν δοκῶν.
thick-skinned you-were and you sense to-have seeming
οὕτως ἐτήρεις παῖδ᾽ ἐπίγαμον; τοιγαροῦν
so you-guarded a-girl marriageable therefore
τέρασιν ὅμοια πεντάμηνα παιδία
to-portents like born-at-five-months little-children

ἐκτρέφομεν. ΣΜΙΚΡΙΝΗΣ οὐκ οἶδ' ὅ τι λέγεις.
we-rear *not* *I-know* *what* *thing* *you-say*

ΟΝΗΣΙΜΟΣ ἡ γραῦς δέ γε
the *old-woman* *and* *at-least*

οἶδ', ὡς ἐγῷμαι. τότε γὰρ οὑμὸς δεσπότης
knows *as* *I-think* *then* *for* *the-my* *master*

τοῖς Ταυροπολίοις — ΣΜΙΚΡΙΝΗΣ Σωφρόνη.
at-the *Tauropolia* *Sophrone*

ΟΝΗΣΙΜΟΣ ταύτην λαβὼν
her *having-taken*

χορῶν ἀποσπασθεῖσαν — αἰσθάνει γε; ΣΜΙΚΡΙΝΗΣ ναί·
from-the-dances *torn-away* *do-you-perceive* *at-least* *yes*

ΟΝΗΣΙΜΟΣ νυνὶ δ' ἀναγνωρισμὸς αὐτοῖς γέγονε καὶ
now *and* *a-recognition* *to-them* *has-happened* *and*

ἅπαντ' ἀγαθά. ΣΜΙΚΡΙΝΗΣ τί φησιν, ἱερόσυλε γραῦ;
all *good-things* *what* *does-she-say* *temple-robber* *old-woman*

ΣΩΦΡΟΝΗ "ἡ φύσις ἐβούλεθ', ᾗ νόμων οὐδὲν μέλει·
the *nature* *willed* *to-which* *of-laws* *nothing* *matters*

γυνὴ δ' ἐπ' αὐτῷ τῷδ' ἔφυ." ΣΜΙΚΡΙΝΗΣ τί, μῶρος εἶ;
woman *and* *for* *very* *this* *was-born* *why* *fool* *are-you*

ΣΩΦΡΟΝΗ τραγικὴν ἐρῶ σοι ῥῆσιν ἐξ Αὔγης ὅλην,
a-tragic *I-will-say* *to-you* *speech* *from* *Auge* *whole*

ἂν μή ποτ' αἴσθῃ, Σμικρίνη. ΣΜΙΚΡΙΝΗΣ σύ μοι χολὴν
if *not* *ever* *you-perceive* *Smicrines* *you* *me* *bile*

κινεῖς παθαινομένη· σὺ γὰρ σφόδρ' οἶσθ' ὅτι
you-stir *being-passionate* *you* *for* *very-well* *know* *that*

τέρας λέγει νῦν. ΟΝΗΣΙΜΟΣ οἶδά γ' εὖ, εὖ ἴσθ', ὅτι
a-portent *she-says* *now* *I-know* *at-least* *well* *well* *know* *that*

ἡ γραῦς προτέρα συνῆκε. ΣΜΙΚΡΙΝΗΣ πάνδεινον λέγεις.
the *old-woman* *earlier* *understood* *most-terrible* *you-say*

ΣΩΦΡΟΝΗ οὐ γέγονεν εὐτύχημα μεῖζον οὐδὲ ἕν.
not has-happened good-fortune greater not-even one

ΣΜΙΚΡΙΝΗΣ εἰ τοῦτ᾽ ἀληθές ἐσθ᾽ ὃ λέγεις, τὸ παιδίον ***
if this true is which you-say the little-child (lacuna)

MENANDER

ΣΑΜΙΑ

The Girl from Samos

Demeas tells how in the bustle of his son's wedding preparations he overheard Moschion's old nurse fondling the baby his Samian mistress Chrysis is rearing, and saying that the baby was Moschion's. He then saw Chrysis herself nursing it, and is torn between trust in his decent, dutiful son and what he heard.

ΔΗΜΕΑΣ ∗∗∗ ἢ μαίνομαι ∗∗∗
(lacuna) or I-am-mad (lacuna)

λαβὼν ἐπ' ἀγαθῷ ∗∗∗
having-taken for good (lacuna)

ὡς γὰρ τάχιστ' εἰσῆλθον, ὑπερεσπουδακὼς
as for soonest I-went-in being-over-eager

τὰ τοῦ γάμου πράττειν, φράσας τὸ πρᾶγμ' ἁπλῶς
the of-the wedding to-do having-told the matter simply

τοῖς ἔνδον ἐκέλευσ' εὐτρεπίζειν πάνθ' ἃ δεῖ,
to-those inside I-ordered to-prepare all-things which are-needful

καθαρὰ ποεῖν, πέττειν, ἐνάρχεσθαι κανοῦν.
clean to-make to-bake to-begin the-basket

ἐγίγνετ' ἀμέλει πάνθ' ἑτοίμως, τὸ δὲ τάχος
it-was-done never-fear all readily the and speed

τῶν πραττομένων ταραχήν τιν' αὐτοῖς ἐνεπόει,
of-the things-being-done confusion some in-them made

ὅπερ εἰκός. ἐπὶ κλίνης μὲν ἔρριπτ' ἐκποδὼν
as-was likely on a-couch indeed was-thrown out-of-the-way

τὸ παιδίον κεκραγός, αἱ δ' ἐβόων ἅμα·
the little-child screaming they and shouted at-once

"ἄλευρ', ὕδωρ, ἔλαιον ἀπόδος, ἄνθρακας."
flour water oil give-back charcoal

καὐτὸς διδοὺς τούτων τι καὶ συλλαμβάνων
and-I-myself giving of-these something and helping

εἰς τὸ ταμιεῖον ἔτυχον εἰσελθών, ὅθεν
into the storeroom happened having-gone-in whence
πλείω προαιρῶν καὶ σκοπούμενος συχνὰ
more taking-out and examining much
οὐκ εὐθὺς ἐξῆλθον. καθ' ὃν δ' ἦν χρόνον ἐγὼ
not at-once I-came-out at which and was time I
ἐνταῦθα, κατέβαιν' ἀφ' ὑπερῴου τις γυνὴ
there came-down from an-upper-room some woman
ἄνωθεν εἰς τοὔμπροσθε τοῦ ταμειδίου
from-above into the-front of-the storeroom
οἴκημα· τυγχάνει γὰρ ἱστεών τις ὤν,
room it-happens for a-weaving-room some being
ὥσθ' ἥ τ' ἀνάβασίς ἐστι διὰ τούτου τό τε
so-that the and way-up is through this the and
ταμιεῖον ἡμῖν. τοῦ δὲ Μοσχίωνος ἦν
storeroom for-us — and of-Moschion was
τίτθη τις αὕτη πρεσβυτέρα, γεγονυῖ' ἐμὴ
nurse some this older having-become my
θεράπαιν', ἐλευθέρα δὲ νῦν. ἰδοῦσα δὲ
servant free and now having-seen and
τὸ παιδίον κεκραγὸς ἠμελημένον
the little-child screaming neglected
ἐμέ τ' οὐδὲν εἰδυῖ' ἔνδον ὄντ', ἐν ἀσφαλεῖ
me and nothing knowing inside being in safety
εἶναι νομίσασα τοῦ λαλεῖν, προσέρχεται,
to-be having-thought of-the chattering comes-up
καὶ ταῦτα δὴ τὰ κοινά "φίλτατον τέκνον,"
and these-things indeed the common-words dearest child
εἰποῦσα καὶ "μέγ' ἀγαθόν· ἡ μάμμη δὲ ποῦ;"
having-said and great good the mother and where

ἐφίλησε, περιήνεγκεν· ὡς δ' ἐπαύσατο
she-kissed carried-it-around when and it-stopped
κλαῖον, πρὸς αὑτήν φησιν· "ὦ τάλαιν' ἐγώ,
crying to herself she-says O wretched I
πρῴην τοιοῦτον ὄντα Μοσχίων' ἐγὼ
lately such being Moschion I
αὐτὸν ἐτιθηνούμην ἀγαπῶσα, νῦν δ', ἐπεὶ
himself I-nursed loving now and since
παιδίον ἐκείνου γέγονεν, ἄλλη καὶ τόδε ***
a-little-child of-that-one is-born another and this (lacuna)
*** καὶ θεραπαινιδίῳ τινὶ
(lacuna) and to-a-little-maid some
ἔξωθεν εἰστρέχοντι· "λούσατ', ὦ τάλαν,
from-outside running-in wash O wretch
τὸ παιδίον," φησίν· "τί τοῦτ'; ἐν τοῖς γάμοις
the little-child she-says what is-this at the wedding
τοῖς τοῦ πατρὸς τὸν μικρὸν οὐ θεραπεύετε;"
the of-the father the little-one not do-you-tend
εὐθὺς δ' ἐκείνη "δύσμορ', ἡλίκον λαλεῖς,"
at-once and that-one wretch how-loudly you-babble
φησ', "ἔνδον ἐστὶν αὐτός." "οὐ δήπου γε· ποῦ;"
says inside is he not surely at-least where
"ἐν τῷ ταμιείῳ" — καὶ παρεξήλλαξέ τι —
in the storeroom and she-changed somewhat
"αὐτὴ καλεῖ, τίτθη, σε," καὶ "βάδιζε καὶ
herself calls nurse you and go and
σπεῦδ'. οὐκ ἀκήκο' οὐδέν, εὐτυχέστατα."
hurry not he-has-heard anything most-luckily
εἰποῦσ' ἐκείνη δ' "ὦ τάλαινα τῆς ἐμῆς
having-said that-one and O wretched of-the my

λαλιᾶς,” ἀπῆλθεν ἐκποδὼν οὐκ οἶδ’ ὅποι.
chatter went-off out-of-the-way not I-know where
κἀγὼ προῆλθον τοῦτον ὅνπερ ἐνθάδε
and-I came-forth this which-very here
τρόπον ἀρτίως ἐξῆλθον, ἡσυχῇ πάνυ,
manner just-now I-came-out quietly very
ὡς οὔτ’ ἀκούσας οὐδὲν οὔτ’ ᾐσθημένος.
as neither having-heard anything nor having-perceived
αὐτὴν δ’ ἔχουσαν αὐτὸ τὴν Σαμίαν ὁρῶ
her and holding it the Samian I-see
ἔξω διδοῦσαν τιτθίον παριὼν ἅμα.
outside giving the-breast passing-by at-once
ὥσθ’ ὅτι μὲν αὐτῆς ἐστι τοῦτο γνώριμον
so-that that indeed hers is this known
εἶναι, πατρὸς δ’ ὅτου ποτ’ ἐστίν, εἴτ’ ἐμοῦ
to-be of-father and of-whom ever it-is whether mine
εἴτ’ — οὐ λέγω δ’, ἄνδρες, πρὸς ὑμᾶς τοῦτ’ ἐγώ,
or not I-say and men to you this I
οὔθ’ ὑπονοῶ, τὸ πρᾶγμα δ’ εἰς μέσον φέρω
nor do-I-suspect the matter and into the-middle I-bring
ἅ τ’ ἀκήκο’ αὐτός, οὐκ ἀγανακτῶν οὐδέπω.
what and I-have-heard myself not being-angry not-yet
σύνοιδα γὰρ τῷ μειρακίῳ, νὴ τοὺς θεούς,
I-know-well for about-the young-man by the gods
καὶ κοσμίῳ τὸν πρότερον ὄντι χρόνον ἀεὶ
both decent the former being time always
καὶ περὶ ἔμ’ ὡς ἔνεστιν εὐσεβεστάτῳ.
and toward me as is-possible most-dutiful
πάλιν δ’, ἐπειδὰν τὴν λέγουσαν καταμαθῶ
again and whenever the one-speaking I-learn

τίτθην ἐκείνου πρῶτον οὖσαν, εἶτ' ἐμοῦ
nurse of-that-one first being then of-me
λάθρᾳ λέγουσαν, εἶτ' ἀποβλέψω πάλιν
secretly speaking then I-look again
εἰς τὴν ἀγαπῶσαν αὐτὸ καὶ βεβιασμένην
to the one-loving it and having-forced
ἐμοῦ τρέφειν ἄκοντος, ἐξέστηχ' ὅλως.
me to-rear-it unwilling I-am-beside-myself wholly
ἀλλ' εἰς καλὸν γὰρ τουτονὶ παρόνθ' ὁρῶ
but into good for this-one-here coming I-see
τὸν Παρμένοντ' ἐκ τῆς ἀγορᾶς· ἐατέον
— Parmeno from the market I-must-let
αὐτὸν παραγαγεῖν ἐστι τοῦτον οὕς τ' ἄγει.
him to-bring-in is this-one whom and he-brings

II · PARMENO QUESTIONED

Parmeno brings home a talkative cook for the wedding. Demeas interrogates him, threatening a whipping; Parmeno calls the child Demeas' own, Demeas says he knows it is Moschion's, and Parmeno flees a branding. Alone, Demeas concludes that Chrysis seduced his son when the boy was drunk, and resolves to drive her out on the pretext that she kept the child.

ΠΑΡΜΕΝΩΝ μάγειρ', ἐγὼ μὰ τοὺς θεούς, οὐκ οἶδα σὺ
cook I by the gods not know you
ἐφ' ὅ τι μαχαίρας περιφέρεις· ἱκανὸς γὰρ εἶ
for what thing knives you-carry-around able for you-are

λαλῶν κατακόψαι πάντα. ΜΑΓΕΙΡΟΣ προσπαίζεις ἐμοί,
by-babbling to-chop-up everything you-jest at-me
ἰδιῶτ'; ΠΑΡΜΕΝΩΝ ἐγώ; ΜΑΓΕΙΡΟΣ δοκεῖς γ' ἐμοί, νὴ τοὺς θεούς,
ignorant I you-seem at-least to-me by the gods
εἰ πυνθάνομαι πόσας τραπέζας μέλλετε
if I-ask how-many tables you-intend
ποεῖν, πόσαι γυναῖκές εἰσι, πηνίκα
to-make how-many women there-are at-what-hour
ἔσται τὸ δεῖπνον, εἰ δεήσει προσλαβεῖν
will-be the dinner if it-will-be-needful to-hire
τραπεζοποιόν, εἰ κέραμός ἐστ' ἔνδοθεν
a-table-setter if crockery is inside
ὑμῖν ἱκανός, εἰ τοὐπτάνιον κατάστεγον,
for-you enough if the-kitchen roofed
εἰ τἄλλ' ὑπάρχει πάντα; ΠΑΡΜΕΝΩΝ κατακόπτεις γέ με,
if the-rest is-available all you-chop-up at-least me
εἰ λανθάνει σε, φίλτατ', εἰς περικόμματα,
if it-escapes you dearest into mincemeat
οὐχ ὡς ἔτυχεν. ΜΑΓΕΙΡΟΣ οἴμωζε. ΠΑΡΜΕΝΩΝ καὶ σὺ τοῦτό γε
not as it-happened howl and you this at-least
παντὸς ἕνεκ'. ἀλλὰ παράγετ' εἴσω. ΔΗΜΕΑΣ Παρμένων.
of-all for-the-sake but bring inside Parmeno
ΠΑΡΜΕΝΩΝ ἐμέ τις καλεῖ; ΔΗΜΕΑΣ σὲ ναίχι.
me someone calls you yes
ΠΑΡΜΕΝΩΝ χαῖρε, δέσποτα.
greetings master
ΔΗΜΕΑΣ τὴν σπυρίδα καταθεὶς ἧκε δεῦρ'.
the basket having-put-down come here
ΠΑΡΜΕΝΩΝ ἀγαθῇ τύχῃ.
with-good luck

ΔΗΜΕΑΣ τοῦτον μὲν οὐδέν, ὡς ἐγᾦμαι, λανθάνει·
him indeed nothing as I-think escapes
τάχ᾽ οἶδε γὰρ πραττόμενον ἔργον· ἔστι γὰρ
perhaps he-knows for being-done a-deed he-is for
περίεργος εἴ τις ἄλλος. ἀλλὰ τὴν θύραν
a-busybody if any other but the door
προϊὼν πέπληχε. ΠΑΡΜΕΝΩΝ δίδοτε, Χρυσί, πάνθ᾽ ὅσ᾽ ἂν
coming-forth he-has-banged give Chrysis all as-much-as —
ὁ μάγειρος αἰτῇ· τὴν δὲ γραῦν φυλάττετε
the cook asks the and old-woman guard
ἀπὸ τῶν κεραμίων, πρὸς θεῶν. τί δεῖ ποεῖν,
from the wine-jars by gods what must to-do
δέσποτα; ΔΗΜΕΑΣ "τί δεῖ ποεῖν σέ;" δεῦρ᾽ ἀπὸ τῆς θύρας.
master what must to-do you here from the door
ἔτι μικρόν. ΠΑΡΜΕΝΩΝ ἦν. ΔΗΜΕΑΣ ἄκουε δὴ νῦν, Παρμένων·
still a-little there listen indeed now Parmeno
ἐγώ σε μαστιγοῦν, μὰ τοὺς δώδεκα θεούς,
I you to-whip by the twelve gods
οὐ βούλομαι διὰ πολλά. ΠΑΡΜΕΝΩΝ μαστιγοῦν; τί γὰρ
not I-wish for many-reasons to-whip what for
πεπόηκα; ΔΗΜΕΑΣ συγκρύπτεις τι πρός μ᾽, ᾔσθημ᾽ ἐγώ.
have-I-done do-you-conceal something toward me I-have-perceived I
ΠΑΡΜΕΝΩΝ μὰ τὸν Διόνυσον, μὰ τὸν Ἀπόλλω, ᾽γὼ μὲν οὔ,
by — Dionysus by — Apollo I indeed not
μὰ τὸν Δία τὸν σωτῆρα, μὰ τὸν Ἀσκληπιόν, —
by — Zeus the savior by — Asclepius
ΔΗΜΕΑΣ παῦ, μηδέν᾽ ὄμνυ᾽· οὐ γὰρ εἰκάζεις καλῶς.
stop no-one swear not for you-guess well

ΠΑΡΜΕΝΩΝ ἦ μήποτ᾽ ἆρ᾽ — ΔΗΜΕΑΣ οὗτος, βλέπε δεῦρ᾽.
truly not-ever — you-there look here

ΠΑΡΜΕΝΩΝ ἰδού· βλέπω·
see I-look

ΔΗΜΕΑΣ τὸ παιδίον τίνος ἐστίν; ΠΑΡΜΕΝΩΝ ἦν — τὸ παιδίον—;
the little-child whose is-it there the little-child

ΔΗΜΕΑΣ τίνος ἔστ᾽ ἐρωτῶ. ΠΑΡΜΕΝΩΝ Χρυσίδος.
whose is-it I-ask of-Chrysis

ΔΗΜΕΑΣ πατρὸς δὲ τοῦ;
of-father and of-whom

ΠΑΡΜΕΝΩΝ σόν γ᾽ ἐστίν.
yours at-least it-is

ΔΗΜΕΑΣ ἀπόλωλας· φενακίζεις μ᾽. ΠΑΡΜΕΝΩΝ ἐγώ;
you-are-ruined you-cheat me I

ΔΗΜΕΑΣ οἶδα γὰρ ἀκριβῶς πάντα καὶ τὸ παιδίον
I-know for exactly all and the little-child

ὅτι Μοσχίωνός ἐστιν, ὅτι σύνοισθα σύ,
that of-Moschion it-is that you-know you

ὃ γὰρ τεκεῖν οὔ φησι νῦν αὕτη τρέφει.
which for to-have-borne not she-says now she rears

ΠΑΡΜΕΝΩΝ τίς φησιν; ΔΗΜΕΑΣ εἶδον· ἀλλ᾽ ἀπόκριναι τοῦτό μοι·
who says-so I-saw but answer this to-me

*** ἐστίν; ΠΑΡΜΕΝΩΝ εἰ γένοιτο τἄλλα λανθάνειν.
(lacuna) it-is if it-could-be the-rest to-escape-notice

ΔΗΜΕΑΣ τί "λανθάνειν"; ἱμάντα, παῖδές, τις δότω
what to-escape-notice a-strap boys someone give

ἐπὶ τουτονί μοι τὸν ἀσεβῆ. ΠΑΡΜΕΝΩΝ μή, πρὸς θεῶν.
for this-one to-me the impious not by gods

ΔΗΜΕΑΣ στίξω σε, νὴ τὸν Ἥλιον. ΠΑΡΜΕΝΩΝ στίξεις ἐμέ;
I-will-brand you by — Sun will-you-brand me

ΔΗΜΕΑΣ ἤδη γ'. ΠΑΡΜΕΝΩΝ ἀπόλωλα.
already at-least *I-am-ruined*

ΔΗΜΕΑΣ ποῖ σύ, ποῖ, μαστιγία;
where you where whipping-post

λάβ' αὐτόν. ὦ πόλισμα Κεκροπίας χθονός,
seize him O citadel of-Cecropian land

ὦ ταναὸς αἰθήρ, ὦ — τί, Δημέα, βοᾷς;
O outstretched sky O why Demeas do-you-shout

τί βοᾷς, ἀνόητε; κάτεχε σαυτόν. καρτέρει.
why do-you-shout fool restrain yourself endure

οὐδὲν γὰρ ἀδικεῖ Μοσχίων σε· παράβολος
nothing for wrongs Moschion you reckless

ὁ λόγος ἴσως ἔστ', ἄνδρες, ἀλλ' ἀληθινός.
the word perhaps is men but true

εἰ μὲν γὰρ ἢ βουλόμενος ἢ κρατούμενος
if indeed for either wishing or overcome

ἔρωτι τοῦτ' ἔπραξεν ἢ μισῶν ἐμέ,
by-love this he-did or hating me

ἦν ἂν ἐπὶ τῆς αὐτῆς διανοίας ἧς τότε
he-would-be — in the same intention as then

ἐμοί τε παρατεταγμένος. νυνὶ δέ μοι
to-me and drawn-up-against now and to-me

ἀπολελόγηται τὸν φανέντ' αὐτῷ γάμον
he-has-made-his-defense the shown to-him marriage

ἄσμενος ἀκούσας· οὐκ ἐρῶν γάρ, ὡς ἐγὼ
gladly having-heard not loving for as I

τότ' ᾠόμην, ἔσπευδεν, ἀλλὰ τὴν ἐμὴν
then thought he-was-hurrying but the my

Ἑλένην φυγεῖν βουλόμενος ἔνδοθέν ποτε·
Helen to-flee wishing from-inside at-last

αὕτη γάρ ἐστιν αἰτία τοῦ γεγονότος.
she for is cause of-the having-happened
κατέλαβεν αὐτόν που μεθύοντα δηλαδή,
she-caught him somewhere drunk plainly
οὐκ ὄντ' ἐν ἑαυτοῦ· πολλὰ δ' ἔργ' ἐργάζεται
not being in himself many and deeds works
τοιαῦτ' ἄκρατος καὶ νεότης, ὅταν λάβῃ
such unmixed-wine and youth when it-takes
καιρόν, ἐπιβουλεύσαντά τοι τοῖς πλησίον.
an-opportunity having-plotted surely against-the neighbors
οὐδενὶ τρόπῳ γὰρ πιθανὸν εἶναί μοι δοκεῖ,
in-no way for credible to-be to-me seems
τὸν εἰς ἅπαντας κόσμιον καὶ σώφρονα
the toward all decent and modest
τοὺς ἀλλοτρίους εἰς ἐμὲ τοιοῦτον γεγονέναι,
the strangers toward me such to-have-become
οὐδ' εἰ δεκάκις ποητός ἐστι, μὴ γόνῳ,
not-even if ten-times adopted he-is not by-birth
ἐμὸς υἱός. οὐ γὰρ τοῦτο, τὸν τρόπον δ' ὁρῶ.
my son not for this the character and I-see
χαμαιτύπη δ' ἄνθρωπος, ὄλεθρος — ἀλλὰ τί;
a-street-walker and the-creature a-pest but what
οὐ γὰρ περίεσται, Δημέα. νῦν ἄνδρα χρὴ
not for it-will-prevail Demeas now a-man it-is-needful
εἶναί σ'. ἐπιλαθοῦ τοῦ πόθου, πέπαυσ' ἐρῶν,
to-be you forget the longing stop loving
καὶ τἀτύχημα μὲν τὸ γεγονὸς κρύφθ' ὅσον
and the-misfortune indeed the having-happened hide as-much-as
ἔνεστι, διὰ τὸν υἱόν, ἐκ τῆς δ' οἰκίας
is-possible for-the-sake-of the son out-of the and house

ἐπὶ τὴν κεφαλὴν εἰς κόρακας ὦσον τὴν κακὴν
on the head to the-crows push the vile
Σαμίαν. ἔχεις δὲ πρόφασιν ὅτι τὸ παιδίον
Samian you-have and a-pretext that the little-child
ἀνείλετ'. ἐμφανίσῃς γὰρ ἄλλο μηδὲ ἕν,
she-took-up show for other not-even one
δακὼν δ' ἀνάσχου· καρτέρησον εὐγενῶς.
having-bitten and bear-up endure nobly

III · CHRYSIS DRIVEN OUT

In fury Demeas turns Chrysis out of the house with the baby and the old woman, and tells her she will learn what life is like for a courtesan. His neighbor Niceratus, coming home with a scrawny sheep for the sacrifice, finds her weeping before the door and hears that Demeas has thrown her out over the child.

ΜΑΓΕΙΡΟΣ ἀλλ' ἆρα πρόσθεν τῶν θυρῶν ἐστ' ἐνθάδε,
but — before the doors is-he here
παῖ, Παρμένων; ἄνθρωπος ἀπορέδρακέ με
boy Parmeno the-fellow has-run-away-from me
ἀλλ' οὐδὲ μικρὸν συλλαβών. ΔΗΜΕΑΣ ἐκ τοῦ μέσου
but not-even a-little having-helped out-of the way
ἄναγε σεαυτόν. ΜΑΓΕΙΡΟΣ Ἡράκλεις, τί τοῦτο, παῖ;
take-up yourself Heracles what is-this boy
μαινόμενος εἰσδεδράμηκεν εἴσω τις γέρων, —
raving has-run-in inside some old-man
ἢ τί τὸ κακόν ποτ' ἐστί; τί δέ μοι τοῦτο, παῖ;
or what the evil ever is what and to-me this boy
νὴ τὸν Ποσειδῶ, μαίνεθ', ὡς ἐμοὶ δοκεῖ·
by — Poseidon he-raves as to-me it-seems

κέκραγε γοῦν παμμέγεθες. ἀστεῖον πάνυ
he-shouts at-least enormously charming very
εἰ τὰς λοπάδας ἐν τῷ μέσῳ μοι κειμένας
if the dishes in the middle for-me lying
ὄστρακα ποήσαι πάνθ' ὅμοια. — τὴν θύραν
potsherds he-should-make all alike the door
πέπληχεν. ἐξώλης ἀπόλοιο, Παρμένων,
he-has-banged damned may-you-perish Parmeno
κομίσας με δεῦρο. μικρὸν ὑπαποστήσομαι.
having-brought me here a-little I-will-withdraw
ΔΗΜΕΑΣ οὔκουν ἀκούεις; ἄπιθι. ΧΡΥΣΙΣ ποῖ γῆς, ὦ τάλαν;
not-then do-you-hear go-away where on-earth O wretch
ΔΗΜΕΑΣ εἰς κόρακας ἤδη. ΧΡΥΣΙΣ δύσμορος —
to the-crows now ill-fated
ΔΗΜΕΑΣ ναί, "δύσμορος·"
yes ill-fated
ἐλεεινὸν ἀμέλει τὸ δάκρυον. παύσω σ' ἐγώ,
pitiable never-fear the tear I-will-stop you I
ὡς οἴομαι — ΧΡΥΣΙΣ τί ποοῦσαν; ΔΗΜΕΑΣ οὐδέν. ἀλλ' ἔχεις
as I-think what doing nothing but you-have
τὸ παιδίον, τὴν γραῦν· ἀποφθείρου τάχυ.
the little-child the old-woman go-to-ruin quickly
ΧΡΥΣΙΣ ὅτι τοῦτ' ἀνειλόμην;
because this I-took-up
ΔΗΜΕΑΣ διὰ τοῦτο καὶ — ΧΡΥΣΙΣ τί "καί;"
for this and what and

ΔΗΜΕΑΣ διὰ τοῦτο· τοιοῦτ᾽ ἦν τὸ κακόν, εὖ μανθάνω·
for this such was the evil well I-understand
τρυφᾶν γὰρ οὐκ ἠπίστασ᾽. ΧΡΥΣΙΣ οὐκ ἠπιστάμην;
to-live-softly for not you-knew not I-knew
τί δ᾽ ἔσθ᾽ ὃ λέγεις; ΔΗΜΕΑΣ καίτοι πρὸς ἔμ᾽ ἦλθες ἐνθάδε
what and is-it which you-say and-yet to me you-came here
ἐν σινδονίτῃ, Χρυσί, — μανθάνεις; — πάνυ
in a-linen-shift Chrysis you-understand very
λιτῷ. ΧΡΥΣΙΣ τί οὖν; ΔΗΜΕΑΣ τότ᾽ ἦν ἐγώ σοι πάνθ᾽, ὅτε
plain what then then was I to-you all when
φαύλως ἔπραττες. ΧΡΥΣΙΣ νῦν δὲ τίς; ΔΗΜΕΑΣ μή μοι λάλει.
poorly you-fared now and who not to-me babble
ἔχεις τὰ σαυτῆς πάντα· προστίθημί σοι,
you-have the yours all I-add for-you
ἰδού, θεραπαίνας, χρυσί᾽· ἐκ τῆς οἰκίας
see maids gold-things out-of the house
ἄπιθι. ΧΡΥΣΙΣ τὸ πρᾶγμ᾽ ὀργή τίς ἐστι· προσιτέον.
go-away the matter anger some is I-must-approach
βέλτιστ᾽, ὅρα — ΔΗΜΕΑΣ τί μοι διαλέγει; ΧΡΥΣΙΣ μὴ δακῇς.
my-good see why to-me are-you-talking not bite

ΔΗΜΕΑΣ ἑτέρα γὰρ ἀγαπήσει τὰ παρ' ἐμοί, Χρυσί, νῦν,
another for will-be-content-with the-things at my-house Chrysis now
καὶ τοῖς θεοῖς θύσει. ΧΡΥΣΙΣ τί ἐστιν; ΔΗΜΕΑΣ ἀλλὰ σὺ
and to-the gods will-sacrifice what is-it but you
υἱὸν πεπόηκας· πάντ' ἔχεις. ΧΡΥΣΙΣ οὔπω· δάκνει.
a-son you-have-made all you-have not-yet it-stings
ὅμως — ΔΗΜΕΑΣ κατάξω τὴν κεφαλήν, ἄνθρωπέ, σου,
nevertheless I-will-break the head creature your
ἄν μοι διαλέγῃ. ΧΡΥΣΙΣ καὶ δικαίως· ἀλλ' ἰδού,
if to-me you-talk and justly but see
εἰσέρχομ' ἤδη. ΔΗΜΕΑΣ τὸ μέγα πρᾶγμ'. ἐν τῇ πόλει
I-go-in already the great matter in the city
ὄψει σεαυτὴν νῦν ἀκριβῶς ἥτις εἶ.
you-will-see yourself now exactly who you-are
αἱ κατά σε, Χρυσί, πραττόμεναι δραχμὰς δέκα
the-ones like you Chrysis earning drachmas ten
μόνας ἑταῖραι διατρέχουσ' ἐπὶ δεῖπνα καὶ
only courtesans run-about to dinners and
πίνουσ' ἄκρατον ἄχρις ἂν ἀποθάνωσιν, — ἢ
drink unmixed-wine until — they-die or
πεινῶσιν ἂν μὴ τοῦθ' ἑτοίμως καὶ ταχὺ
they-starve if not this readily and quickly
ποῶσιν. εἴσει δ' οὐδενὸς τοῦτ', οἶδ' ὅτι,
they-do you-will-know and of-no-one this I-know that
ἧττον σύ, καὶ γνώσει τίς οὖσ' ἡμάρτανες.
less you and you-will-learn who being you-erred
ἔσταθι. ΧΡΥΣΙΣ τάλαιν' ἔγωγε τῆς ἐμῆς τύχης.
stand wretched I-at-least of-the my fortune

ΝΙΚΗΡΑΤΟΣ τουτὶ τὸ πρόβατον τοῖς θεοῖς μὲν τὰ νόμιμα
this-here the sheep for-the gods indeed the customary-things
ἅπαντα ποιήσει θυθὲν καὶ ταῖς θεαῖς.
all will-do sacrificed and for-the goddesses
αἷμα γὰρ ἔχει, χολὴν ἱκανήν, ὀστᾶ καλά,
blood for it-has bile enough bones fine
σπλῆνα μέγαν, ὧν χρεία ’στὶ τοῖς Ὀλυμπίοις.
a-spleen great of-which need is to-the Olympians
πέμψω δὲ γεύσασθαι κατακόψας τοῖς φίλοις
I-will-send and to-taste having-chopped-up to-the friends
τὸ κῴδιον· λοιπὸν γάρ ἐστι τοῦτό μοι.
the fleece left for is this to-me
ἀλλ’, Ἡράκλεις, τί τοῦτο; πρόσθε τῶν θυρῶν
but Heracles what is-this before the doors
ἕστηκε Χρυσὶς ἥδε κλάουσ’; οὐ μὲν οὖν
stands Chrysis here weeping not indeed rather
ἄλλη. τί ποτε τὸ γεγονός; ΧΡΥΣΙΣ ἐκβέβληκέ με
another what ever the having-happened has-thrown-out me
ὁ φίλος ὁ χρηστός σου· τί γὰρ ἄλλ’; ΝΙΚΗΡΑΤΟΣ ὦ Ἡράκλεις,
the friend the good your what for else O Heracles
τίς; Δημέας; ΧΡΥΣΙΣ ναί. ΝΙΚΗΡΑΤΟΣ διὰ τί; ΧΡΥΣΙΣ διὰ τὸ παιδίον.
who Demeas yes for what for the little-child
ΝΙΚΗΡΑΤΟΣ ἤκουσα καὐτὸς τῶν γυναικῶν ὅτι τρέφεις
I-heard and-myself from-the women that you-rear
ἀνελομένη παιδάριον. ἐμβροντησία.
having-taken-up a-little-child madness
ἀλλ’ ἔστ’ ἐκεῖνος ἡδύς, οὐκ ὠργίζετο
but is that-one sweet not he-was-angry

εὐθύς, διαλιπὼν δ' ἀρτίως. ΧΡΥΣΙΣ ὃς καὶ φράσας
at-once having-paused and just-now who also having-told
εἰς τοὺς γάμους μοι τἄνδον εὐτρεπῆ ποεῖν
for the wedding to-me the-things-inside ready to-make
μεταξύ μ' ὥσπερ ἐμμανὴς ἐπεισπεσὼν
meanwhile me like raving having-fallen-on
ἔξωθεν ἐκκέκλεικε. ΝΙΚΗΡΑΤΟΣ Δημέας χολᾷ; ***
from-outside has-shut-out Demeas is-bilious (lacuna)

IV · DEMEAS AND NICERATUS

Learning the baby is his daughter's, Niceratus chases Chrysis to seize it until Demeas, now seeing his mistake, bars him and soothes him with Zeus in the golden rain; the wedding is set to go ahead.

ΔΗΜΕΑΣ ἀλλὰ πάλιν ἐλθὼν —
but again having-come
ΝΙΚΗΡΑΤΟΣ τὸ δεῖνα "μικρόν;" ὦ τᾶν, οἴχομαι·
the thing a-little O my-friend I-am-gone
πάντα πράγματ' ἀνατέτραπται, τέλος ἔχει. ΔΗΜΕΑΣ νὴ τὸν Δία.
all affairs are-overturned an-end it-has by — Zeus
οὑτοσὶ τὸ πρᾶγμ' ἀκούσας χαλεπανεῖ, κεκράξεται.
this-man-here the matter having-heard will-be-angry will-shout
τραχὺς ἄνθρωπος, σκατοφάγος, αὐθέκαστος τῷ τρόπῳ. —
harsh the-fellow dung-eater self-willed in-the character
ἐμὲ γὰρ ὑπονοεῖν τοιαῦτα τὸν μαρὸν ἐχρῆν, ἐμέ;
me for to-suspect such-things the vile it-was-right me
νὴ τὸν Ἥφαιστον, δικαίως ἀποθάνοιμ' ἄν. Ἡράκλεις,
by — Hephaestus justly I-would-die — Heracles

ἡλίκον κέκραγε. τοῦτ᾽ ἦν. πῦρ βοᾷ. τὸ παιδίον
how-loud he-has-shouted this was fire he-cries the little-child
φησὶ ῥαχιεῖν, εἶτα πρήσειν. υἱὸδοῦν ὀπτώμενον
he-says to-cleave then to-burn grandson roasted
ὄψομαι. πάλιν πέπληχε τὴν θύραν. — στρόβιλος ἢ
I-shall-see again he-has-banged the door a-whirlwind or
σκηπτός, οὐκ ἄνθρωπός ἐστι. ΝΙΚΗΡΑΤΟΣ Δημέα, συνίσταται
a-thunderbolt not a-man he-is Demeas conspires
ἐπ᾽ ἐμὲ καὶ πάνδεινα ποιεῖ πράγμαθ᾽ ἡ Χρυσίς. 355
against me and most-terrible does things — Chrysis

ΔΗΜΕΑΣ τί φῄς;
what say-you

ΝΙΚΗΡΑΤΟΣ τὴν γυναῖκά μου πέπεικε μηδὲν ὁμολογεῖν ὅλως
the wife my she-has-persuaded nothing to-admit at-all
μηδὲ τὴν κόρην· ἔχει δὲ πρὸς βίαν τὸ παιδίον
nor the girl she-has and by force the little-child
οὐ προήσεσθαί τέ φησιν. ὥστε μὴ θαύμαζ᾽ ἐὰν
not to-give-up and she-says so-that not wonder if
αὐτόχειρ αὐτῆς γένωμαι. ΔΗΜΕΑΣ τῆς γυναικὸς αὐτόχειρ;
own-hand-slayer of-her I-become of-the woman own-hand-slayer
ΝΙΚΗΡΑΤΟΣ πάντα γὰρ σύνοιδεν αὕτη. 360
all for knows she

ΔΗΜΕΑΣ μηδαμῶς, Νικήρατε.
by-no-means Niceratus

ΝΙΚΗΡΑΤΟΣ σοὶ δ᾽ ἐβουλόμην προειπεῖν.
to-you and I-wished to-say-beforehand

ΔΗΜΕΑΣ οὑτοσὶ μελαγχολᾷ.
this-man-here is-mad

εἰσπεπήδηκεν. τί τούτοις τοῖς κακοῖς τις χρήσεται;
he-has-leapt-in what with-these the with-evils anyone will-do

οὐδεπώποτ᾽ εἰς τοιαύτην ἐμπεσών, μὰ τοὺς θεούς,
never into such having-fallen by the gods
οἶδα ταραχήν. ἔστι μέντοι τὸ γεγονὸς φράσαι σαφῶς
I-know confusion it-is however the having-happened to-tell clearly
πολὺ κράτιστον. — ἀλλ᾽, Ἄπολλον, ἡ θύρα πάλιν ψοφεῖ.
far best but Apollo the door again rattles
ΧΡΥΣΙΣ ὦ τάλαιν᾽ ἐγώ, τί δράσω; ποῖ φύγω; τὸ παιδίον
O wretched I what shall-I-do where shall-I-flee the little-child
λήψεταί μου. ΔΗΜΕΑΣ Χρυσί, δεῦρο.
will-take my Chrysis here
ΧΡΥΣΙΣ τίς καλεῖ μ᾽; ΔΗΜΕΑΣ εἴσω τρέχε.
who calls me inside run
ΝΙΚΗΡΑΤΟΣ ποῖ σύ, ποῖ φεύγεις;
where you where are-you-fleeing
ΔΗΜΕΑΣ Ἄπολλον, μονομαχήσω τήμερον,
Apollo I-shall-fight-single-combat today
ὡς ἔοικ᾽, ἐγώ. τί βούλει; τίνα διώκεις; ΝΙΚΗΡΑΤΟΣ Δημέα,
as it-seems I what do-you-want whom are-you-chasing Demeas
ἐκποδὼν ἄπελθ᾽. ἔα με γενόμενον τοῦ παιδίου
out-of-the-way go-away let me having-become of-the little-child
ἐγκρατῆ τὸ πρᾶγμ᾽ ἀκοῦσαι τῶν γυναικῶν. ΔΗΜΕΑΣ μαίνεται.
master the matter to-hear from-the women he-is-mad
ἀλλὰ τυπτήσεις μ᾽; ΝΙΚΗΡΑΤΟΣ ἔγωγε.
but will-you-strike me I-indeed
ΔΗΜΕΑΣ θᾶττον εἰσφθάρηθι σύ.
quicker go-to-ruin-inside you
ἀλλὰ μὴν κἄγωγε. φεῦγε, Χρυσί· κρείττων ἐστί μου.
but surely and-I-too flee Chrysis stronger he-is than-me

πρότερος ἅπτει μου σὺ νυνί.
first you-touch me you now

ΝΙΚΗΡΑΤΟΣ ταῦτ' ἐγὼ μαρτύρομαι.
these-things I call-to-witness

ΔΗΜΕΑΣ σὺ δ' ἐπ' ἐλευθέραν γυναῖκα λαμβάνεις βακτήριον
you and against free woman you-take a-stick

καὶ διώκεις; ΝΙΚΗΡΑΤΟΣ συκοφαντεῖς.
and you-chase you-play-the-informer

ΔΗΜΕΑΣ καὶ σὺ γάρ. ΝΙΚΗΡΑΤΟΣ τὸ παιδίον
and you for the little-child

οὐ δίδωσ' ἐμοί; ΔΗΜΕΑΣ γέλοιον· τοὐμόν;
not she-gives to-me ridiculous mine

ΝΙΚΗΡΑΤΟΣ ἀλλ' οὐκ ἔστι σόν.
but not it-is yours

ΔΗΜΕΑΣ περίμεν'· ὦνθρωποι, —
wait O-people

ΝΙΚΗΡΑΤΟΣ κέκραχθι· τὴν γυναῖκ' ἀποκτενῶ
shout the wife I-will-kill

εἰσιών· τί γὰρ ποήσω; ΔΗΜΕΑΣ τοῦτο μοχθηρὸν πάλιν
going-in what for shall-I-do this wretched again

οὐκ ἐάσω. ποῖ σύ; μένε δή.
not I-will-allow where you stay now

ΝΙΚΗΡΑΤΟΣ μὴ πρόσαγε τὴν χεῖρά μοι.
not bring-near the hand to-me

ΔΗΜΕΑΣ κάτεχε δὴ σεαυτόν.
restrain now yourself

ΝΙΚΗΡΑΤΟΣ ἀδικεῖς, Δημέα, με, δῆλος εἶ,
you-wrong Demeas me plain you-are

καὶ τὸ πρᾶγμα πᾶν σύνοισθα. ΔΗΜΕΑΣ τοιγαροῦν ἐμοῦ πυθοῦ,
and the matter all you-know therefore from-me learn

τῇ γυναικὶ μὴ ’νοχλήσας μηδέν. ΝΙΚΗΡΑΤΟΣ ἆρ’ ὁ σός με παῖς
the wife not having-troubled nothing — the your me son

ἐντεθρίωκεν; ΔΗΜΕΑΣ φλυαρεῖς. λήψεται μὲν τὴν κόρην·
has-made-a-fool-of you-talk-nonsense he-will-take indeed the girl

385 ἔστι δ’ οὐ τοιοῦτον. ἀλλὰ περιπάτησον ἐνθαδὶ
it-is and not such but walk-about here

μικρὰ μετ’ ἐμοῦ. ΝΙΚΗΡΑΤΟΣ περιπατήσω;
a-little with me I-will-walk-about

ΔΗΜΕΑΣ καὶ σεαυτὸν σύλλαβε.
and yourself pull-together

οὐκ ἀκήκοας λεγόντων, εἰπέ μοι, Νικήρατε,
not have-you-heard saying tell me Niceratus

τῶν τραγῳδῶν ὡς γενόμενος χρυσὸς ὁ Ζεὺς ἐρρύη
the tragedians how having-become gold — Zeus flowed

διὰ τέγους, κατειργμένην δὲ παῖδ’ ἐμοίχευσέν ποτε;
through a-roof shut-up and a-girl he-seduced once

ΝΙΚΗΡΑΤΟΣ εἶτα δὴ τί τοῦτ'; ΔΗΜΕΑΣ ἴσως
then indeed what this perhaps
δεῖ πάντα προσδοκᾶν· σκόπει
it-is-needful all to-expect consider
τοῦ τέγους εἴ σοι μέρος τι ῥεῖ.
of-the roof if for-you part some leaks
ΝΙΚΗΡΑΤΟΣ τὸ πλεῖστον. ἀλλὰ τί
the most but what
τοῦτο πρὸς ἐκεῖν' ἐστί;
this to that is
ΔΗΜΕΑΣ τοτὲ μὲν γίνεθ' ὁ Ζεὺς χρυσίον,
at-times indeed becomes — Zeus gold
τοτὲ δ' ὕδωρ. ὁρᾷς; ἐκείνου τοὔργόν ἐστιν. ὡς ταχὺ
at-times and water you-see of-that-one the-work is how quickly
εὕρομεν. ΝΙΚΗΡΑΤΟΣ καὶ βουκολεῖς με;
we-have-found and you-hoodwink me
ΔΗΜΕΑΣ μὰ τὸν Ἀπόλλω, 'γὼ μὲν οὔ.
by — Apollo I indeed not
ἀλλὰ χείρων οὐδὲ μικρὸν Ἀκρισίου δήπουθεν εἶ·
but worse not-even a-little than-Acrisius surely are-you
εἰ δ' ἐκείνην ἠξίωσε, τήν γε σὴν —
if and that-one he-deemed-worthy the at-least yours
ΝΙΚΗΡΑΤΟΣ οἴμοι τάλας,
ah-me wretch
Μοσχίων ἐσκεύακέν με. ΔΗΜΕΑΣ λήψεται μέν· μὴ φοβοῦ
Moschion has-done-for me he-will-take indeed not fear
τοῦτο. θεῖον δ' ἔστ', ἀκριβῶς οἶδα, τὸ γεγεννημένον.
this divine and it-is exactly I-know the having-been-born
μυρίους εἰπεῖν ἔχω σοι περιπατοῦντας ἐν μέσῳ
thousands to-name I-have for-you walking-about in the-middle

ὄντας ἐκ θεῶν, σὺ δ' οἴει δεινὸν εἶναι τὸ γεγονός.
being from gods you and think terrible to-be the having-happened
Χαιρεφῶν πρώτιστος οὗτος, ὃν τρέφουσ' ἀσύμβολον,
Chaerephon first this-one whom they-feed scot-free
οὐ θεός σοι φαίνετ' εἶναι;
not god to-you seems to-be
ΝΙΚΗΡΑΤΟΣ φαίνεται· τί γὰρ πάθω;
he-seems what for am-I-to-suffer
οὐ μαχοῦμαί σοι διὰ κενῆς. ΔΗΜΕΑΣ νοῦν ἔχεις, Νικήρατε.
not I-will-fight with-you for empty sense you-have Niceratus
Ἀνδροκλῆς ἔτη τοσαῦτα ζῇ, τρέχει, παῖδας πολὺ
Androcles years so-many lives runs boys much
πράττεται, μέλας περιπατεῖ λευκός· οὐκ ἂν ἀποθάνοι,
he-exacts black he-walks-about white not — he-would-die
οὐδ' ἂν εἰ σφάττοι τις αὐτόν. οὗτός ἐστιν οὐ θεός;
not-even — if should-slaughter someone him this-one is not god
ἀλλὰ ταῦτ' εὔχου γενέσθαι συμφέροντα· θυμία.
but these-things pray to-happen advantageous burn-incense
πρόσαγε· τὴν κόρην μέτεισιν οὑμὸς υἱὸς αὐτίκα
bring-forward the girl will-come-for the-my son at-once
ἐξ ἀναγκῆς· ἐστὶ γὰρ τὰ πολλὰ γ' ἡμῖν νοῦν ἔχειν.
by necessity it-is for the many at-least for-us sense to-have
εἰ δ' ἐλήφθη τότε πάροξυς, μὴ παροξύνου.
if and he-had-been-caught then furious not be-provoked
ΝΙΚΗΡΑΤΟΣ παπαῖ.
whew
ΔΗΜΕΑΣ τἄνδον εὐτρεπῆ; ΝΙΚΗΡΑΤΟΣ ποήσω.
the-things-inside ready I-will-make
ΔΗΜΕΑΣ τὰ παρ' ἐμοὶ διοτρεφῆ.
the-things at my-house Zeus-nurtured

ΝΙΚΗΡΑΤΟΣ κομψὸς εἶ.
clever you-are

ΔΗΜΕΑΣ χάριν δὲ πολλὴν πᾶσι τοῖς θεοῖς ἔχω,
thanks and much to-all the gods I-have

οὐδὲν εὑρηκὼς ἀληθὲς ὧν τότ᾽ ᾤμην κατανοεῖν.
nothing having-found true of-what then I-thought to-perceive

V · MOSCHION'S REVENGE

Moschion, angry that his father suspected him, resolves to frighten him by pretending to go abroad as a mercenary. Parmeno, who fled for nothing, is sent for a cloak and sword but comes back urging him to the waiting wedding and is struck for it, while Moschion begins to fear his father will let him go.

ΜΟΣΧΙΩΝ ἐγὼ τότε μὲν ἧς εἶχον αἰτίας μόλις
I then indeed of-which I-had charge barely

ἐλεύθερος γενόμενος ἠγάπησα καὶ
free having-become was-content and

τοῦθ᾽ ἱκανὸν εὐτύχημ᾽ ἐμαυτῷ γεγονέναι
this enough good-fortune for-myself to-have-happened

ὑπέλαβον· ὡς δὲ μᾶλλον ἔννους γίνομαι
I-supposed as and more in-my-senses I-become

καὶ λαμβάνω λογισμόν, ἐξέστηκα νῦν
and take reckoning I-am-beside now

τελέως ἐμαυτοῦ καὶ παρώξυμμαι σφόδρα
completely myself and am-provoked very

ἐφ᾽ οἷς μ᾽ ὁ πατὴρ ὑπέλαβεν ἡμαρτηκέναι.
at what me the father supposed to-have-erred

εἰ μὲν καλῶς οὖν εἶχε τὰ περὶ τὴν κόρην,
if indeed well then were the-things about the girl

καὶ μὴ τοσαῦτ' ἦν ἐμποδών — ὅρκος, πόθος,
and not so-many were in-the-way oath longing
χρόνος, συνήθει', οἷς ἐδουλούμην ἐγώ —
time intimacy by-which was-enslaved I
οὐκ ἂν παρόντα γ' αὖτις ᾐτιάσατο
not — present at-least again he-would-have-accused
αὐτόν με τοιοῦτ' οὐδέν, ἀλλ' ἀποφθαρεὶς
myself me of-such nothing but having-taken-myself-off
ἐκ τῆς πόλεως ἂν ἐκποδὼν εἰς Βάκτρα ποι
from the city — out-of-the-way to Bactra somewhere
ἢ Καρίαν διέτριβον αἰχμάζων ἐκεῖ.
or Caria I-would-spend-time being-a-spearman there
νῦν δ' οὐ ποιήσω διά σε, Πλαγγὼν φιλτάτη,
now and not I-will-do for you Plangon dearest
ἀνδρεῖον οὐδέν· οὐ γὰρ ἔξεστ', οὐδ' ἐᾷ
manly nothing not for it-is-allowed nor permits
ὁ τῆς ἐμῆς νῦν κύριος γνώμης Ἔρως.
the of-the my now master mind Love
οὐ μὴν ταπεινῶς οὐδ' ἀγεννῶς παντελῶς
not however meanly nor ignobly wholly
παραπεμπτέον τοῦτ', ἀλλὰ τῷ λόγῳ μόνον,
must-pass this but by-the word only
εἰ μηδὲν ἄλλ', αὐτὸν φοβῆσαι βούλομαι,
if nothing else him to-frighten I-wish
φάσκων ἀπαίρειν· μᾶλλον εἰς τὰ λοιπὰ γὰρ
saying to-sail-off rather for the rest for
φυλάξετ' αὖτις μηδὲν εἴς μ' ἀγνωμονεῖν,
he-will-guard again nothing toward me to-be-unfeeling
ὅταν φέροντα μὴ παρέργως τοῦτ' ἴδῃ.
when taking not lightly this he-sees

ἀλλ᾽ οὑτοσὶ γὰρ εἰς δέοντά μοι πάνυ
but this-man-here for at needful for-me very
καιρὸν πάρεστιν ὃν μάλιστ᾽ ἐβουλόμην.
time is-present whom most I-wished
ΠΑΡΜΕΝΩΝ νὴ τὸν Δία τὸν μέγιστον, ἀνόητόν τε καὶ
by — Zeus the greatest foolish both and
εὐκαταφρόνητον ἔργον εἴμ᾽ εἰργασμένος· 440
contemptible a-deed I-am having-done
οὐδὲν ἀδικῶν ἔδεισα καὶ τὸν δεσπότην
nothing wronging I-feared and the master
ἔφυγον. τί δ᾽ ἦν τούτου πεποηκὼς ἄξιον;
I-fled what and was of-this having-done worthy
καθ᾽ ἓν γὰρ οὑτωσὶ σαφῶς σκεψώμεθα·
by one for thus clearly let-us-consider
ὁ τρόφιμος ἐξήμαρτεν εἰς ἐλευθέραν
the young-master erred against a-free
κόρην· ἀδικεῖ δήπουθεν οὐδὲν Παρμένων. 445
girl wrongs surely nothing Parmeno
ἐκύησεν αὕτη· Παρμένων οὐκ αἴτιος.
became-pregnant she Parmeno not responsible
τὸ παιδάριον εἰσῆλθεν εἰς τὴν οἰκίαν
the little-child came into the house
τὴν ἡμετέραν· ἤνεγκ᾽ ἐκεῖνος, οὐκ ἐγώ.
the ours brought that-one not I
τῶν ἔνδον ὡμολόγηκε τοῦτό τις· τί δή;
of-those inside has-confessed this someone what indeed
τί Παρμένων ἐνταῦθα πεπόηκεν κακόν; 450
what Parmeno here has-done evil
οὐδέν. τί οὖν ἔφυγες σύ; πῶς, ἀβέλτερε;
nothing why then fled you how fool

καὶ δὴ ’φόβει με. γέλοιον. ἠπείλησέ μοι·
and indeed he-frightened me ridiculous he-threatened me
στίξει μ’. ὄνομα θήσει. διαφέρει δ’ οὐδὲ γρὺ
he-will-brand me a-name he-will-put it-differs and not-even a-grunt
ἀδίκως παθεῖν ταῦτ’ ἢ δικαίως· ἔστι δὲ
unjustly to-suffer these-things or justly it-is and
πάντα τρόπον οὐκ ἀστεῖον. ΜΟΣΧΙΩΝ οὗτος. ΠΑΡΜΕΝΩΝ χαῖρε σύ.
every way not charming you-there greetings you
ΜΟΣΧΙΩΝ ἀφεὶς ἃ φλυαρεῖς ταῦτα θᾶττον εἴσιθι
having-dropped what you-babble these-things quicker go-in
εἴσω. ΠΑΡΜΕΝΩΝ τί ποήσων; ΜΟΣΧΙΩΝ χλαμύδα καὶ σπάθην τινὰ
inside what to-do a-cloak and a-sword some
ἔνεγκέ μοι. ΠΑΡΜΕΝΩΝ σπάθην ἐγώ σοι; ΜΟΣΧΙΩΝ καὶ ταχύ.
bring me a-sword I to-you and quickly
ΠΑΡΜΕΝΩΝ ἐπὶ τί; ΜΟΣΧΙΩΝ βάδιζε καὶ σιωπῇ τοῦθ’ ὅ σοι
for what go and in-silence this which to-you
εἴρηκα ποίει. ΠΑΡΜΕΝΩΝ τί δὲ τὸ πρᾶγμ’; ΜΟΣΧΙΩΝ εἰ λήψομαι
I-have-said do what and the matter if I-shall-take
ἱμάντα — ΠΑΡΜΕΝΩΝ μηδαμῶς· βαδίζω γάρ. ΜΟΣΧΙΩΝ τί οὖν
a-strap by-no-means I-go for why then
μέλλεις; πρόσεισι νῦν ὁ πατήρ. δεήσεται,
do-you-delay will-come-up now the father will-beg
δεήσεθ’ οὗτος καταμένειν μου δηλαδὴ
will-beg he to-stay me plainly
ἄλλως — μέχρι τινός· δεῖ γάρ. εἶθ’, ὅταν δοκῇ,
otherwise until some-point it-is-needful for then when it-seems-good
πεισθήσομ’ αὐτῷ. πιθανὸν εἶναι δεῖ μόνον —
I-will-be-persuaded by-him plausible to-be it-is-needful only
ὅ, μὰ τὸν Διόνυσον, οὐ δύναμαι ποεῖν ἐγώ.
which by — Dionysus not can do I

τοῦτ᾽ ἔστιν· ἐψόφηκε προϊὼν τὴν θύραν.
this it-is has-rattled coming-forth the door

ΠΑΡΜΕΝΩΝ ὑστερίζειν μοι δοκεῖς σὺ παντελῶς τῶν ἐνθάδε
to-be-behind to-me seem you wholly of-the here

πραγμάτων, εἰδὼς δ᾽ ἀκριβῶς οὐδὲν οὐδ᾽ ἀκηκοὼς
affairs knowing and exactly nothing nor having-heard

διὰ κενῆς σαυτὸν ταράττεις· εἴσιθ᾽ ἤδη τοῦτ᾽ ἀνείς. 470
for empty yourself you-trouble go-in now this having-let-go

ΜΟΣΧΙΩΝ οὐ φέρεις—; ΠΑΡΜΕΝΩΝ ποοῦσι γάρ σοι
not you-bring they-make for for-you

τοὺς γάμους· κεράννυται,
the wedding is-mixed

θυμιᾶτ᾽, ἀνάπτεταί τε θύμαθ᾽ Ἡφαίστου φλογί.
incense-is-burned is-kindled and offerings of-Hephaestus with-the-flame

ΜΟΣΧΙΩΝ οὗτος, οὐ φέρεις—; ΠΑΡΜΕΝΩΝ σὲ γάρ τοι
you-there not you-bring you for surely

περιμένουσ᾽ οὗτοι πάλαι.
await these long-since

μετιέναι τὴν παῖδα μέλλεις; εὐτυχεῖς· οὐδὲν κακόν
to-fetch the girl you-delay you-are-lucky no evil

ἐστί σοι· θάρρει. τί βούλει; ΜΟΣΧΙΩΝ νουθετήσεις μ᾽, εἰπέ μοι, 475
is for-you take-heart what do-you-want will-you-admonish me tell me

ἱερόσυλε; ΔΗΜΕΑΣ παῖ· ΠΑΡΜΕΝΩΝ τί ποιεῖς, Μοσχίων;
temple-robber boy what are-you-doing Moschion

ΜΟΣΧΙΩΝ οὐκ εἰσδραμὼν
not having-run-in

θᾶττον ἐξοίσεις ἃ φημι; ΠΑΡΜΕΝΩΝ διακέκομμαι τὸ στόμα.
quicker will-you-bring-out what I-say I-am-cut the mouth

ΜΟΣΧΙΩΝ ἔτι λαλεῖς, οὗτος; ΠΑΡΜΕΝΩΝ βαδίζω, νὴ Δί', ἐξεύρηκά τε
still you-babble you-there I-go by Zeus I-have-found and
μέγα κακόν. ΜΟΣΧΙΩΝ μέλλεις;
great evil you-delay
ΠΑΡΜΕΝΩΝ ἄγουσι τοὺς γάμους ὄντως, ἰδού.
they-hold the wedding really see
480 ΜΟΣΧΙΩΝ σπεῦσον, ἐξάγγελλέ μοί τι. νῦν
hurry announce to-me something now
πρόσεισιν. ἂν δέ μου
he-comes-up if and me
μὴ δέῃτ', ἄνδρες, καταμένειν, ἀλλ' ἀποργισθεὶς ἐᾷ
not he-begs men to-stay but grown-angry he-lets
ἀπιέναι, — τουτὶ γὰρ ἄρτι παρέλιπον, — τί δεῖ ποεῖν;
to-go-away this-here for just-now I-left-out what must I-do
εἰκότως οὐκ ἂν ποήσαι τοῦτ', ἐὰν δέ — πάντα γὰρ
naturally not — he-would-do this if and all for
γίνεται — γέλοιος ἔσομαι, νὴ Δί', ἀνακάμπτων πάλιν. ***
it-happens ridiculous I-shall-be by Zeus bending-back again (lacuna)

MENANDER

ΠΕΡΙΚΕΙΡΟΜΕΝΗ

The Shorn Girl

I · THE PROLOGUE OF IGNORANCE

Ignorance speaks the prologue: an old woman reared Glycera, a foundling, gave her twin brother Moschion to a rich lady next door, and gave Glycera to the soldier Polemon as her daughter. Before dying she told Glycera the secret. When Moschion kissed her at the door and she, knowing him her brother, did not flee, Polemon saw it, and Ignorance kindled his anger, all to bring the truth to light.

ΑΓΝΟΙΑ τούτων θέλει τὸ μὲν τρέφειν, ἔχειν τέκνον
of-these she-wishes the indeed to-rear to-have child
αὐτὴ προθυμηθεῖσα θῆλυ, τὸ δ' ἕτερον
herself having-been-eager female the and other
γυναικὶ δοῦναι πλουσίᾳ τὴν οἰκίαν
to-a-woman to-give rich the house
ταύτην κατοικούσῃ, δεομένῃ παιδίου.
this dwelling-in needing a-child
γέγονε δὲ ταῦτ'. ἐνισταμένων δ' ἐτῶν τινων
happened and these-things coming-on and years some
καὶ τοῦ πολέμου καὶ τῶν Κορινθιακῶν κακῶν
and of-the war and of-the Corinthian evils
αὐξανομένων, ἡ γραῦς ἀπορουμένη σφόδρα,
growing the old-woman being-at-a-loss very
τεθραμμένης τῆς παιδός, ἣν νῦν εἴδετε
having-been-reared the girl whom now you-saw
ὑμεῖς, ἐραστοῦ γενομένου τε τοῦ σφοδροῦ
you a-lover having-become and the vehement
τούτου νεανίσκου, γένει Κορινθίου
this young-man by-birth Corinthian
ὄντος, δίδωσι τὴν κόρην ὡς θυγατέρα
being she-gives the girl as daughter

αὑτῆς ἔχειν. ἤδη δ' ἀπειρηκυῖα καὶ
her-own to-have already and having-given-up and
προορωμένη τοῦ ζῆν καταστροφήν τινα
foreseeing of-the living an-end some
αὑτῇ παροῦσαν, οὐκ ἔκρυψε τὴν τύχην,
to-herself being-present not she-hid the fortune
λέγει δὲ πρὸς τὴν μείραχ' ὡς ἀνείλετο
she-tells and to the girl how she-took-up
αὐτήν, ἐν οἷς τε σπαργάνοις δίδωσ' ἅμα·
her in which and swaddling-clothes she-gives together
τὸν ἀγνοούμενόν τ' ἀδελφὸν τῇ φύσει
the unknown and brother by-the nature
φράζει, προνοουμένη τι τῶν ἀνθρωπίνων,
she-tells taking-forethought something of-the human-things
εἴ ποτε δεηθείη βοηθείας τινός,
if ever she-should-need help some
ὁρῶσα τοῦτον ὄντ' ἀναγκαῖον μόνον
seeing this-one being kin only
αὑτῇ, φυλακήν τε λαμβάνουσα μή ποτε
to-herself precaution and taking lest ever
δι' ἐμέ τι τὴν Ἄγνοιαν αὐτοῖς συμπέσῃ
through me something — Ignorance on-them should-fall
ἀκούσιον, πλουτοῦντα καὶ μεθύοντ' ἀεὶ
unintended rich and drunk always
ὁρῶσ' ἐκεῖνον, εὐπρεπῆ δὲ καὶ νέαν
seeing that-one comely and also young
ταύτην, βέβαιον δ' οὐθὲν ᾧ κατελείπετο.
this-one secure and nothing to-whom she-was-being-left
αὕτη μὲν οὖν ἀπέθανεν· ὁ δὲ τὴν οἰκίαν
she indeed then died the and the house

ἐπρίατο ταύτην ὁ στρατιώτης οὐ πάλαι.
bought this the soldier not long-ago
ἐν γειτόνων δ' οἰκοῦσα τἀδελφοῦ, τὸ μὲν
in neighbors' and dwelling of-the-brother the indeed
πρᾶγμ' οὐ μεμήνυκ', οὐδ' ἐκεῖνον βούλεται,
matter not she-has-revealed nor that-one she-wishes
εἶναι δοκοῦντα λαμπρόν, εἰς μεταλλαγὴν
to-be seeming splendid into change
ἀγαγεῖν, ὄνασθαι δ' ὧν δέδωκεν ἡ τύχη.
to-lead to-enjoy and what has-given the fortune
ἀπὸ ταὐτομάτου δ' ὀφθεῖσ' ὑπ' αὐτοῦ, — θρασυτέρου,
by the-chance and seen by him bolder
ὥσπερ προείρηκ', ὄντος, ἐπιμελῶς τ' ἀεὶ
as I-said-before being carefully and always
φοιτῶντος ἐπὶ τὴν οἰκίαν, — ἔτυχ' ἑσπέρας
coming-often to the house she-happened in-the-evening
πέμπουσά ποι θεράπαιναν· ὡς δ' ἐπὶ ταῖς θύραις
sending somewhere a-maid as and at the doors
αὐτὴν γενομένην εἶδεν, εὐθὺ προσδραμὼν
her having-come he-saw straight having-run-up
ἐφίλει, περιέβαλλ'· ἡ δὲ τῷ προειδέναι
he-kissed he-embraced she and for-the knowing-beforehand
ἀδελφὸν ὄντ' οὐκ ἔφυγε. προσιὼν δ' ἄτερος
brother being not fled coming-up and the-other
ὁρᾷ. τὰ λοιπὰ δ' αὐτὸς εἴρηχ' ὃν τρόπον.
sees the rest and himself has-told in-what manner
ὁ μὲν ᾤχετ' εἰπὼν ὅτι κατὰ σχολὴν ἰδεῖν
he indeed went-off having-said that at leisure to-see
αὐτὴν ἔτι βούλεθ', ἡ δ' ἐδάκρυ' ἑστῶσα καὶ
her still he-wished she and wept standing and

ὠδύρεθ' ὅτι ταῦτ' οὐκ ἐλευθέρως ποεῖν
lamented that these-things not freely to-do
ἔξεστιν αὐτῇ. πάντα δ' ἐξεκάετο
is-allowed for-her all and was-kindled
ταῦθ' ἕνεκα τοῦ μέλλοντος εἰς ὀργήν θ' ἵνα
these-things for-the-sake-of the future into anger and so-that
οὗτος ἀφίκητ'. — ἐγὼ γὰρ ἦγον οὐ φύσει
this-one might-come I for led not by-nature
τοιοῦτον ὄντα τοῦτον, — ἀρχὴν δ' ἵνα λάβῃ
such being this-one a-beginning and so-that he-might-take
μηνύσεως τὰ λοιπά, τούς θ' αὑτῶν ποτε
of-revelation the rest those and their-own at-last
εὕροιεν. ὥστ', εἰ τοῦτ' ἐδυσχέρανέ τις
they-might-find so-that if this resented anyone
ἀτιμίαν τ' ἐνόμισε, μεταθέσθω πάλιν·
dishonor and thought let-him-change again
διὰ γὰρ θεοῦ καὶ τὸ κακὸν εἰς ἀγαθὸν ῥέπει
through for a-god also the evil to good turns
γινόμενον. ἔρρωσθ', εὐμενεῖς τε γενόμενοι
happening farewell kind and having-become
ἡμῖν, θεαταί, καὶ τὰ λοιπὰ σῴζετε.
to-us spectators also the rest save

Sosias, sent home for a cloak only to spy, reports Polemon weeping over his deed, and Doris pities her mistress for taking a soldier. After a gap Davus boasts to Moschion that he brought Glycera to his mother's house, and asks for a reward. Sent in to look, he says the women await Moschion, who takes heart from Glycera's embrace; then the mother orders Davus out, and he guesses that Glycera wants to hear from Moschion first.

ΣΩΣΙΑΣ ὁ σοβαρὸς ἡμῖν ἀρτίως καὶ πολεμικός,
the swaggering for-us just-now and warlike
ὁ τὰς γυναῖκας οὐκ ἐῶν ἔχειν τρίχας,
the-one the women not allowing to-have hair
κλάει κατακλινείς. κατέλιπον ποούμενον
weeps having-lain-down I-left making
ἄριστον αὐτοῖς ἄρτι, καὶ συνηγμένοι
breakfast for-them just-now and gathered
εἰς ταὐτόν εἰσιν οἱ συνήθεις, τοῦ φέρειν
into the-same are the intimates for-the to-bear
αὐτὸν τὸ πρᾶγμα ῥᾷον. οὐκ ἔχων δ' ὅπως
him the matter more-easily not having and how
τἀνταῦθ' ἀκούσῃ γινόμεν', ἐκπέπομφέ με
the-things-here he-may-hear happening has-sent me
ἱμάτιον οἴσοντ' ἐξεπίτηδες, οὐδὲ ἓν
a-cloak to-fetch on-purpose not-even one
δεόμενος ἀλλ' ἢ περιπατεῖν με βούλεται.
needing but only to-walk-about me he-wishes
ΔΩΡΙΣ ἐγὼ προελθοῦσ' ὄψομαι, κεκτημένη.
I having-gone-forth shall-see mistress

ΣΩΣΙΑΣ ἡ Δωρίς. οἷα γέγονεν, ὡς δ' ἐρρωμένη.
— *Doris what has-happened how and in-health*
ζῶσιν τρόπον τιν', ὡς ἐμοὶ καταφαίνεται,
they-live in-a-manner some as to-me appears
αὗται. πορεύσομαι δέ. ΔΩΡΙΣ κόψω τὴν θύραν·
these I-will-go and I-will-knock the door
οὐδεὶς γὰρ αὐτῶν ἐστιν ἔξω. δυστυχὴς
no-one for of-them is outside unfortunate
ἥτις στρατιώτην ἔλαβεν ἄνδρα· παράνομοι
who a-soldier took husband lawless
ἅπαντες, οὐδὲν πιστόν. ὦ κεκτημένη,
all nothing trustworthy O mistress
ὡς ἄδικα πάσχεις. παῖδες. ΣΩΣΙΑΣ εὐφρανθήσεται
how unjust-things you-suffer boys he-will-rejoice
κλαοῦσαν αὐτὴν πυθόμενος νῦν· τοῦτο γὰρ
weeping her having-learned now this for
ἐβούλετ' αὐτός. ΔΩΡΙΣ παιδίον, κέλευέ μοι ***
wished he-himself little-boy order me (lacuna)
ΔΑΟΣ παῖδες. μεθύοντα μειράκια προσέρχεται
boys drunk young-men are-approaching
πάμπολλ'. ἐπαινῶ διαφόρως κεκτημένην·
very-many I-praise exceedingly mistress
εἴσω πρὸς ὑμᾶς εἰσάγει τὴν μείρακα.
inside to you she-leads-in the girl
τοῦτ' ἔστι μήτηρ. ὁ τρόφιμος ζητητέος.
this is mother the young-master must-be-sought
ἥκειν γὰρ αὐτὸν τὴν ταχίστην ἐνθάδε
to-come for him the quickest here
εὔκαιρον εἶναι φαίνεθ', ὡς ἐμοὶ δοκεῖ.
timely to-be it-appears as to-me it-seems

ΜΟΣΧΙΩΝ Δᾶε, πολλάκις μὲν ἤδη πρός μ' ἀπήγγελκας λόγους
Davus often indeed already to me you-have-reported words
οὐκ ἀληθεῖς, ἀλλ' ἀλάζων καὶ θεοῖσιν ἐχθρὸς εἶ.
not true but a-braggart and to-gods hateful you-are
εἰ δὲ καὶ νυνὶ πλανᾷς με — ΔΑΟΣ κρέμασον εὐθύς, εἰ πλανῶ.
if and also now you-mislead me hang-me at-once if I-mislead
ΜΟΣΧΙΩΝ ἥμερον λέγεις τι.
tame you-say something
ΔΑΟΣ χρῆσαι πολεμίου τοίνυν δίκην.
use-me of-an-enemy well-then like
ἂν δ' ἀληθὲς ᾖ καταλάβῃς τ' ἔνδον αὐτὴν ἐνθάδε,
if and true it-be you-find and inside her here
ὁ δεδιωκηκὼς ἐγώ σοι ταῦτα πάντα, Μοσχίων,
the one-having-managed I for-you these-things all Moschion
καὶ πεπεικὼς τὴν μὲν ἐλθεῖν δεῦρ' ἀναλώσας λόγους
and having-persuaded her indeed to-come here having-spent words
μυρίους, τὴν σὴν δὲ μητέρ' ὑποδέχεσθαι καὶ ποεῖν
countless the your and mother to-receive and to-do
πάνθ' ἅ σοι δοκεῖ, τίς ἔσομαι;
all-things which to-you seem-good what shall-I-be
ΜΟΣΧΙΩΝ τίς βίος μάλισθ', ὅρα,
what life most see
Δᾶε, τῶν πάντων ἀρέσκει; ΔΑΟΣ τοῦτ' ἐπιβλεψώμεθα.
Davus of-the all pleases this let-us-look-into
ΜΟΣΧΙΩΝ ἆρα τὸ μυλωθρεῖν κράτιστον;
— the to-be-a-miller best
ΔΑΟΣ εἰς μυλῶνα; ΜΟΣΧΙΩΝ προσδοκᾷ
to a-mill expects
οὑτοσὶ φερόμενος ἥξειν. ΔΑΟΣ μηδεμιᾷ τέχνῃ, λέγω.
this-man-here being-carried to-come by-no art I-say

ΜΟΣΧΙΩΝ βούλομαι δὲ προστάτην σε πραγμάτων Ἑλληνικῶν
I-wish and governor you of-affairs Greek
καὶ διοικητὴν στρατοπέδων. ΔΑΟΣ οὐ μέλει ξένων ἐμοὶ
and administrator of-armies not matters of-strangers to-me
οἵ μ' ἀποσφάττουσιν εὐθύς· ἡσυχῇ κλέψαι θέλω. ***
who me slaughter at-once quietly to-steal I-want (lacuna)
ΜΟΣΧΙΩΝ ἑπτὰ *** τάλαντα — ΔΑΟΣ παντοπωλεῖν βούλομαι,
seven (lacuna) talents to-be-a-general-dealer I-wish
Μοσχίων, ἢ τυροπωλεῖν ἐν ἀγορᾷ καθημένος
Moschion or to-sell-cheese in the-market sitting
ὀμνύω μηδὲν μέλειν μοι πλουσίῳ καθεστάναι
I-swear nothing to-matter to-me rich to-be-established
κατ' ἐμὲ ταῦτ' *** μᾶλλον. ΜΟΣΧΙΩΝ ***
as-for me these-things (lacuna) rather (lacuna)
γραῦς. ΔΑΟΣ τὸ γαστρίζεσθ' ἀρέσκει, δέσποτ', ἀγαπήσειν ἐγὼ
old-woman the to-stuff-the-belly pleases master to-be-content I
φῆμ' ἐφ' οἷς εἴρηκα τούτοις.
I-say with what I-have-said these
ΜΟΣΧΙΩΝ μὰ Δία σὺ στρατηγὸς οὐκ
by Zeus you general not
ἦσθας· ἀλλὰ τυροπώλει καὶ ταλαιπώρει. ΔΑΟΣ καλῶς
were but sell-cheese and toil well
ταῦτα μὲν δή, φασίν, εὔχθω.
these-things indeed indeed they-say let-them-be-prayed
δεῦρο δ' ἦλθεν ἣν ποθεῖς
here and has-come whom you-long-for

οἰκίαν ἄνοιγε, τρόφιμε.
house open young-master

ΜΟΣΧΙΩΝ δεῖ μέν, ὀρθῶς γὰρ λέγεις,
it-is-needful indeed rightly for you-say

ἐμὲ δὲ παραμυθεῖσθ' ἐκείνην νῦν προσήκει καὶ γελᾶν
me and to-console that-one now befits and to-laugh

ἐπὶ θεοῖς ἐχθρῷ πτεροφόρᾳ χιλιάρχῳ; ΔΑΟΣ καὶ μάλα.
at the-gods' foe the-plume-bearing colonel and very

ΜΟΣΧΙΩΝ εἰσιὼν δέ μοι σύ, Δᾶε, τῶν ὅλων κατάσκοπος 175
going-in and to-me you Davus of-the whole spy

πραγμάτων γενοῦ· τί ποιεῖ; ποῦ 'στιν ἡ μήτηρ; ἐμὲ
affairs become what she-does where is the mother me

εἰς τὸ προσδοκᾶν ἔχουσι πῶς; τὸ τοιουτὶ μέρος
for the expecting they-are how the such part

οὐκ ἀκριβῶς δεῖ φράσαι σοι· κομψὸς εἶ.
not exactly it-is-needful to-tell you clever you-are

ΔΑΟΣ πορεύσομαι.
I-will-go

ΜΟΣΧΙΩΝ περιπατῶν δὲ προσμενῶ σε, Δᾶε. πρόσθε τῶν θυρῶν.
walking-about and I-will-wait-for you Davus before the doors

ἀλλ' ἔδειξεν μέν τι τοιοῦθ' ὡς προσῆλθον ἑσπέρας· 180
but she-showed indeed something such when I-came-up in-the-evening

προσδραμόντ' οὐκ ἔφυγεν, ἀλλὰ περιβαλοῦσ' ἐπέσπασε.
running-up not she-fled but embracing drew-me-to-her

οὐκ ἀηδής, ὡς ἔοικέν, εἰμ' ἰδεῖν οὐδ' ἐντυχεῖν,
not unpleasant as it-seems I-am to-see nor to-meet

οἴομαι, μὰ τὴν Ἀθηνᾶν, ἀλλ' ἑταίραις προσφιλής.
I-think by — Athena but to-courtesans dear

τὴν δ' Ἀδράστειαν μάλιστα νῦν, ἀρέσκοι, προσκυνῶ.
— and Adrasteia most now may-it-please I-bow

ΔΑΟΣ Μοσχίων, ἡ μὲν λέλουται καὶ κάθηται. ΜΟΣΧΙΩΝ φιλτάτη.
Moschion she indeed has-bathed and is-sitting dearest

ΔΑΟΣ ἡ δὲ μήτηρ σου διοικεῖ περιπατοῦσ' οὐκ οἶδ' ὅ τι.
the and mother your is-managing walking-about not I-know what thing

εὐτρεπὲς δ' ἄριστόν ἐστιν, ἐκ δὲ τῶν ποουμένων
ready and breakfast is from and the-things being-done

περιμένειν δοκοῦσί μοί σε. ΜΟΣΧΙΩΝ καὶ πάλαι μοι συνδοκεῖ.
to-wait-for they-seem to-me you and long-since to-me it-seems-too

εἶμ' ἀηδής; εἶπας αὐταῖς συμπαρόντα μ' ἐνθάδε;
am-I unpleasant did-you-say to-them being-present me here

ΔΑΟΣ μὰ Δία. ΜΟΣΧΙΩΝ νῦν τοίνυν λέγ' ἐλθών.
by Zeus now well-then tell having-gone

ΔΑΟΣ ὡς ὁρᾷς, ἀναστρέφω.
as you-see I-turn-back

ΜΟΣΧΙΩΝ ἡ μὲν αἰσχυνεῖτ' ἐπειδὰν εἰσίωμεν δηλαδὴ
she indeed will-be-ashamed when we-go-in plainly

παρακαλύψεται τ', ἔθος γὰρ τοῦτο, τὴν δὲ μητέρα
will-cover-her-face and custom for this the and mother

εἰσιόντ' εὐθὺς φιλῆσαι δεῖ μ', ἀνακτήσασθ' ὅλως,
going-in at-once to-kiss it-is-needful me to-win-over wholly

εἰς τὸ κολακεύειν τρέπεσθαι, ζῆν τε πρὸς ταύτην ἁπλῶς·
to the flattering to-turn to-live and for her simply

ὡς γὰρ οἰκείῳ κέχρηται τῷ παρόντι πράγματι.
as for for-her-own she-has-used the present matter

ἀλλὰ τὴν θύραν ψοφεῖ τις ἐξιών. τί τοῦτο, παῖ;
but the door rattles someone coming-out what is-this boy

ὡς ὀκνηρῶς μοι προσέρχει, Δᾶε. ΔΑΟΣ ναὶ μὰ τὸν Δία·
how hesitantly to-me you-approach Davus yes by — Zeus

πάνυ γὰρ ἀτόπως. ὡς γὰρ ἐλθὼν εἶπα πρὸς τὴν μητέρα
very for strangely as for having-gone I-said to the mother

ὅτι πάρει, "μηθὲν ἔτι τούτων" φησί, "τίνος ἀκήκοεν;
that you-are-here nothing more of-these she-says from-whom has-be-heard
ἢ σὺ λελάληκας πρὸς αὐτὸν ὅτι φοβηθεῖσ' ἐνθάδε
or you have-blabbed to him that having-been-frightened here
καταπέφευγ' αὕτη πρὸς ἡμᾶς; πάνυ γε μὴ ὥρας σύ γε,"
has-fled-for-refuge she to us very at-least not in-season you at-least
φήσ', "ἴκοι', ἀλλ' ἐκφθάρηθι καὶ βάδιζε, παιδίον,
she-says may-you-come but go-to-ruin and walk boy
ἐκποδών." ἄκουε τόδ' ἄλλο· πάντ' ἀνήρπαστ' ἐκ μέσου.
out-of-the-way hear this other all is-snatched-away from the-middle
οὐ σφόδρ' ἤκουσεν παρόντα σ' ἡδέως. ΜΟΣΧΙΩΝ μαστιγία,
not very she-heard being-present you gladly whipping-post
σὺ δὲ κέχρησαι μοι — ΔΑΟΣ γέλοιον·
you and have-treated me ridiculous
ἡ μὲν οὖν μήτηρ — ΜΟΣΧΙΩΝ τί φῄς;
the indeed then mother what say-you
ἆρ' ἄγειν ἄκουσαν αὐτὴν ἢ τί πρᾶγμ'; οὐχ ἕνεκ' ἐμοῦ
— to-bring unwilling her or what matter not for-the-sake-of me
εἶπας ὡς πέπεικας ἐλθεῖν πρός μ'. ΔΑΟΣ ἐγὼ δ' εἴρηκά σοι
you-said that you-had-persuaded to-come to me I and have-said to-you
ὡς πέπεικ' ἐλθεῖν ἐκείνην; μὰ τὸν Ἀπόλλω, 'γὼ μὲν οὔ.
that I-had-persuaded to-come her by — Apollo I indeed not
εἰ δοκῶ ψεῦδος, τρόφιμέ μου, σοῦ καταψεύδεσθ' ἔτι,
if I-seem lie young-master my you to-lie-against still
δῆσον. ΜΟΣΧΙΩΝ οὐ τὴν μητέρ' αὐτὸς ταῦτα συμπεπεικέναι
bind-me not the mother yourself these-things to-have-persuaded
ἀρτίως ἔφησθα, ταύτην ἐνθάδ' ὑποδέξασθ' ἐμοῦ ἕνεκα;
just-now you-said her here to-receive me for-the-sake

ΔΑΟΣ τοῦθ', ὁρᾷς, ἔφην. ναί· μνημονεύω. ΜΟΣΧΙΩΝ καὶ δοκεῖν
this you-see I-said yes I-remember and to-seem
ἕνεκ' ἐμοῦ σοι τοῦτο πράττειν;
for-the-sake-of me to-you this to-do
ΔΑΟΣ οὐκ ἔχω τουτὶ φράσαι·
not I-can this-here to-tell
ἀλλ' ἔγωγ' ἔπειθον. ΜΟΣΧΙΩΝ εἶεν· δεῦρο δὴ βάδιζε. ΔΑΟΣ ποῖ;
but I-at-least persuaded well-then here now walk where
ΜΟΣΧΙΩΝ μὴ μακράν. εἴσει —
not far you-will-know
ΔΑΟΣ τὸ δεῖνα, Μοσχίων, ἐγὼ τότε —
the thing Moschion I then
μικρὸν ἔτι μεῖνον. ΜΟΣΧΙΩΝ φλυαρεῖς πρός με.
a-little still wait you-babble to me
ΔΑΟΣ μὰ τὸν Ἀσκληπιόν,
by — Asclepius
οὐκ ἔγωγ', ἐὰν ἀκούσῃς. τυχὸν ἴσως οὐ βούλεται,
not I-at-least if you-hear perhaps maybe not she-wishes
μανθάνεις, ἐξ ἐπιδρομῆς ταῦθ', ὡς ἔτυχεν, ἀλλ' ἀξιοῖ
do-you-understand from a-rush these-things as it-happened but she-thinks-fit
πρὶν συνειδέναι σ', ἀκοῦσαι τὰ παρὰ σοῦ γε, νὴ Δία.
before knowing you to-hear the-things from you at-least by Zeus
οὐ γὰρ ὡς αὐλητρὶς οὐδ' ὡς πορνίδιον τρισάθλιον
not for like a-flute-girl nor like a-little-harlot thrice-wretched
ἦλθεν. ΜΟΣΧΙΩΝ ἐπινοεῖς λέγειν μοι,
she-came do-you-intend to-say to-me
Δᾶέ, τι πάλιν. ΔΑΟΣ δοκίμασον·
Davus something again test-it
οἶδ' ὁποῖόν ἐστιν, οἶμαι· καταλέλοιπεν οἰκίαν
I-know what-kind it-is I-think she-has-left a-house

οὐ φλυαρία — μεταστῆν' εἰ σὺ τρεῖς ἢ τέτταρας
not nonsense to-withdraw if you three or four
ἡμέρας βούλει, προσέξει σοί τις· ἀνεκοινοῦτό μοι
days wish will-attend to-you someone has-been-telling to-me
τοῦτ'· ἀκοῦσαι γάρ σε δεῖ νῦν. 225
this to-hear for you it-is-needful now
ΜΟΣΧΙΩΝ ποῦ σε δήσας καταλίπω,
where you having-bound shall-I-leave
Δᾶε; περιπατεῖν ποεῖς με περίπατον πολύν τινα.
Davus to-walk-about you-make me a-walk long some
ἀρτίως μὲν οὐκ ἀληθὲς πρός με λελάληκας πάλιν.
just-now indeed not true to me you-have-babbled again
ΔΑΟΣ οὐκ ἐᾷς φρονεῖν μ' ἀθορύβως. μεταβαλοῦ τρόπον τινὰ
not you-let to-think me calmly change manner some
κοσμίως τ' εἴσω πάρελθε.
decently and inside go-in
ΜΟΣΧΙΩΝ σῖτ' ἀγοράσει; ΔΑΟΣ καὶ μάλα·
food you-will-buy and very
ἐφόδι' οὐχ ὁρᾷς μ' ἔχοντα; ΜΟΣΧΙΩΝ παῦε, πάραγε, παιδίον. 230
provisions not do-you-see me having stop bring-on boy
ΔΑΟΣ εἰσιὼν δὲ κἄν τι τούτων
going-in and and something of-these
συνδιορθώσαις. ΜΟΣΧΙΩΝ ἑκὼν
you-might-help-set-right willingly
ὁμολογῶ νικᾶν σε. ΔΑΟΣ μικροῦ, Ἡράκλεις, καὶ νῦν δέει
I-admit to-win you almost Heracles and now with-fear
αὖός εἰμ'· οὐκ ἔστι γὰρ ταῦθ', ὡς τότ' ᾤμην, εὐκρινῆ.
dry I-am not it-is for these-things as then I-thought clear

Sosias, sent back with the cloak and sword, finds Glycera gone to the neighbor's, whom he takes for her lover, and threatens to storm the house; Davus mocks him from the door and denies they hold her. Sosias turns on Doris as the cause of it all, and she tells him that Glycera fled in fear to a woman next door, Myrrhine.

ΣΩΣΙΑΣ πάλιν πέπομφε τὴν χλαμύδα φέροντά με
again he-has-sent the cloak bringing me
καὶ τὴν σπάθην, ἵν' ἴδω τί ποιεῖ καὶ λέγω
and the sword so-that I-may-see what she-does and I-may-say
ἐλθών. ἀκαρὲς δέω δὲ φάσκειν καταλαβεῖν
having-come a-hair's-breadth I-lack and to-say to-have-caught
τὸν μοιχὸν ἔνδον, ἵν' ἀναπηδήσας τρέχῃ,
the adulterer inside so-that leaping-up he-may-run
εἰ μή γε παντάπασιν αὐτὸν ἠλέουν,
if not at-least altogether him I-pitied
κακοδαίμον' οὕτω δεσπότην. οὐδ' ἐνύπνιον.
wretched so a-master nor a-dream
ἰδὼν γὰρ οἶδ'· ὦ τῆς πικρᾶς ἐπιδημίας.
having-seen for I-know O of-the bitter homecoming
ΔΑΟΣ ὁ ξένος ἀφῖκται· χαλεπὰ ταῦτα παντελῶς
the stranger has-arrived grievous these-things completely
τὰ πράγματ' ἐστί, νὴ τὸν Ἀπόλλω, ταῦτα δή.
the affairs are by — Apollo these-things indeed
καὶ τὸ κεφάλαιον οὐδέπω λογίζομαι,
and the main-point not-yet do-I-reckon
τὸν δεσπότην, ἂν ἐξ ἀγροῦ θᾶττον πάλιν
the master if from the-country sooner again
ἔλθῃ, ταραχὴν οἵαν ποήσει παραφανείς.
should-come confusion what he-will-make appearing

ΣΩΣΙΑΣ ὑμεῖς δ' ἀφήκαθ', ἱερόσυλα θηρία,
you and have-let-go temple-robbing beasts
ἀφήκατ' ἔξω τῆς θύρας; ΔΑΟΣ ἀναστρέφει
you-have-let-go out-of the door turns-back
ἄνθρωπος ὀργιζόμενος· ὑπαποστήσομαι.
the-fellow angry I-will-withdraw
ΣΩΣΙΑΣ ἤδ' ᾥχεθ' ὡς τὸν γείτον' εὐθὺς δηλαδή,
already has-gone to the neighbor at-once plainly
τὸν μοιχόν, οἰμώζειν φράσασ' ἡμῖν μακρὰ
the adulterer to-howl having-told us long
καὶ μεγάλα. ΔΑΟΣ μάντιν ὁ στρατιώτης δοκιμάσει
and loud a-prophet the soldier will-prove
τοῦτον· ἐπιτυγχάνει τι. ΣΩΣΙΑΣ κόψω τὴν θύραν.
this-one he-hits-the-mark somewhat I-will-knock the door
ΔΑΟΣ ἄνθρωπε κακόδαιμον, τί βούλει; ποῖ φέρει;
fellow ill-starred what do-you-want where are-you-going
ΣΩΣΙΑΣ ἐντεῦθεν εἶ; ΔΑΟΣ τυχόν· ἀλλὰ τί πολυπραγμονεῖς;
from-here are-you perhaps but why do-you-meddle
ΣΩΣΙΑΣ ἀπονενόησθε; πρὸς θεῶν, ἐλευθέραν
have-you-gone-mad by gods a-free
ἔχειν γυναῖκα πρὸς βίαν τοῦ κυρίου
to-hold woman by force of-the master
τολμᾶτε κατακλείσαντες; ΔΩΡΙΣ ὡς πονηρὸς εἶ
do-you-dare having-shut-her-up how wicked you-are
καὶ συκοφάντης ὅσπερ ἔξω περιπολεῖς.
and an-informer you-who outside patrol

ΣΩΣΙΑΣ πότερα νομίζετ᾽ οὐκ ἔχειν ἡμᾶς χολήν,
whether do-you-think not to-have us bile
οὐδ᾽ ἄνδρας εἶναι; ΔΑΟΣ μὴ μὰ Δία, τετρωβόλους.
nor men to-be no by Zeus four-obol-men
ὅταν δ᾽ ὁ τετράδραχμος τοιούτους λαμβάνῃ
when and the four-drachma-one such takes
ἦ ῥᾳδίως μαχούμεθ᾽ ὑμῖν. ΣΩΣΙΑΣ Ἡράκλεις.
truly easily we-will-fight you Heracles
πράγματος ἀσελγοῦς· ὁμολογεῖτε δ᾽, εἰπέ μοι,
matter outrageous do-you-admit and tell me
ἔχειν; — ΔΑΟΣ ἄπελθ᾽, ἄνθρωπ᾽ *** οἴχεται
to-have-her go-away fellow (lacuna) she-is-gone
αὕτη. ΣΩΣΙΑΣ σ᾽ ἐκάλεσα μάρτυν· ὡμολογεῖτ᾽ ἔχειν.
she you I-called witness you-admitted to-have-her
ΔΑΟΣ οὐκ εἴχομεν οὔποτ᾽ ἔνδον. ὄψομαί τινας —
not we-had never inside I-shall-see some
ΣΩΣΙΑΣ ὑμῶν φθαρέντας; πρὸς τίν᾽ οἴεσθ᾽, εἰπέ μοι,
of-you ruined at whom do-you-think tell me
παίζειν; τίς ὁ λῆρος; κατὰ κράτος τὸ δυστυχὲς
to-jest what the nonsense by force the wretched
οἰκίδιον τοῦτ᾽ αὐτίκ᾽ ἐξαιρήσομεν.
little-house this at-once we-shall-take
ὅπλιζε τὸν μοιχόν. ΔΑΟΣ πονηράν, ἄθλιε,
arm the adulterer wicked wretch
ὥσπερ παρ᾽ ἡμῖν οὖσαν ἐπιμένεις πάλαι;
as with us being you-wait long-since
ΣΩΣΙΑΣ οἱ παῖδες οἱ τὰ πελτί᾽ ἔχουσι πρὶν πτύσαι
the boys the-ones the shields having before spitting
διαρπάσονται πάντα, κἂν "τετρωβόλους"
will-plunder all and-if four-obol-men

καλῇς. ΔΑΟΣ ἔπαιζον· σκατοφάγος γὰρ εἶ. ΣΩΣΙΑΣ πόλιν
you-call I-was-jesting dung-eater for you-are a-city
οἰκοῦντες — ΔΑΟΣ ἀλλ' οὐκ ἔχομεν. ΣΩΣΙΑΣ αἰβοῖ, λήψομαι
dwelling but not we-have-her alas I-will-take
σαρίσαν — ΔΑΟΣ ἄπαγ' ἐς κόρακας, ὡς εἴσειμ' ἐγώ,
a-pike away to the-crows as will-go-in I
ἕως ἔοικας σκληρὸς οὕτως. ΔΩΡΙΣ Σωσία.
until you-seem harsh so Sosias
ΣΩΣΙΑΣ σὺ μὲν εἰ πρόσει μοι, Δωρί, μέγα τί σοι κακὸν
you indeed if you-come-near me Doris great some for-you evil
δώσω. σὺ τούτων γέγονας αἰτιωτάτη.
I-will-give you of-these have-become most-responsible
ΔΩΡΙΣ οὕτως ὄναιο, λέγ' ὅτι πρὸς γυναῖκά ποι
so may-you-prosper say that to a-woman somewhere
δείσασα καταπέφευγε. ΣΩΣΙΑΣ "πρὸς γυναῖκά ποι
having-feared she-has-fled to a-woman somewhere
δείσασα;" ΔΩΡΙΣ καὶ γὰρ οἴχεθ' ὡς τὴν Μυρρίνην.
having-feared and for she-has-gone to — Myrrhine
τὴν γείτον'· οὕτως μοι γένοιθ' ἃ βούλομαι.
the neighbor so to-me may-happen what I-wish
ΣΩΣΙΑΣ ὁρᾷς ἵν' οἴχεθ', οὗ τὸ μέλημ' ἔστ', ἐνθάδε —
you-see where she-has-gone where the darling is here
ΔΩΡΙΣ τί μήν; τί δ' ἄλλο νῦν σὺ βούλει, Σωσία;
what truly what and else now you wish Sosias
ἄπαγε σεαυτόν, ἄπαγ' ***
take-off yourself take-off (lacuna)

Pataecus sends off Sosias, who wants the house stormed, and reasons with Polemon: Glycera is free and her own mistress, and he can only persuade her. Polemon begs him to go as envoy and shows him her fine clothes.

ΣΩΣΙΑΣ ἐκεῖθεν ἥκει χρήματ' εἰληφώς· ἐμοὶ
from-there he-comes money having-taken me
πίστευε· προδίδωσίν σε καὶ τὸ στρατόπεδον.
trust he-betrays you and the army
ΠΑΤΑΙΚΟΣ κάθευδ' ἀπελθών, ὦ μακάριε, τὰς μάχας
sleep having-gone-away O blessed-man the battles
ταύτας ἐάσας. οὐχ ὑγιαίνεις — σοὶ λαλῶ —
these having-dropped not you-are-well to-you I-speak
ἧττον· μεθύεις γάρ. ΣΩΣΙΑΣ ἧττον; ὃς πέπωκ' ἴσως
less you-are-drunk for less I-who have-drunk perhaps
κοτύλην, προειδὼς πάντα ταῦθ', ὁ δυστυχής,
a-cup foreseeing all these-things the unfortunate
τηρῶν τ' ἐμαυτὸν εἰς τὸ μέλλον; ΠΟΛΕΜΩΝ εὖ λέγεις.
keeping and myself for the future well you-say
πείσθητί μοι. ΣΩΣΙΑΣ τί δ' ἐστὶν ὃ κελεύεις ἐμοί;
be-persuaded by-me what and is-it which you-order me
ΠΟΛΕΜΩΝ ὀρθῶς ἐρωτᾷς· νῦν ἐγὼ δή σοί γ' ἐρῶ.
rightly you-ask now I indeed to-you at-least will-say
ΣΩΣΙΑΣ Ἀβρότονον, ἐπισήμηνον. ΠΑΤΑΙΚΟΣ ἔσω τουτονὶ
Abrotonon give-the-signal inside this-one-here
πρῶτον ἀπόπεμψον τούς τε παῖδας οὓς ἄγει.
first send-off the and boys whom he-leads

ΣΩΣΙΑΣ κακῶς διοικεῖς τὸν πόλεμον. διαλύεται,
badly you-manage the war it-is-broken-off
δέον λαβεῖν κατὰ κράτος. ΠΟΛΕΜΩΝ οὑτοσί με γὰρ
it-being-needful to-take by force this-man-here me for
ὁ Πάταικος ἐξόλλυσιν; ΣΩΣΙΑΣ οὐκ ἔσθ' ἡγεμών.
— Pataecus destroys not he-is a-leader
ΑΒΡΟΤΟΝΟΝ πρὸς τῶν θεῶν, ἄνθρωπ', ἄπελθ'. ΣΩΣΙΑΣ ἀπέρχομαι.
by the gods fellow go-away I-go-away
ΠΟΛΕΜΩΝ ᾤμην σε ποιήσειν τι· καὶ γάρ, Ἀβρότονον,
I-thought you to-do something and for Abrotonon
ἔχεις τι πρὸς πολιορκίαν σὺ χρήσιμον,
have-you anything for siege you useful
δύνασαί τ' ἀναβαίνειν, περικαθῆσθαι, — ποῖ στρέφει,
can-you and to-climb to-besiege where do-you-turn
λαικάστρι'; ᾐσχύνθης; μέλει τούτων τί σοι;
strumpet you-were-ashamed matters of-these what to-you
ΠΑΤΑΙΚΟΣ εἰ μέν τι τοιοῦτ' ἦν, Πολέμων, οἷόν φατε
if indeed something such were Polemon as you-say
ὑμεῖς, τὸ γεγονός, καὶ γαμετὴν γυναῖκά σου —
you the having-happened and wedded wife your
ΠΟΛΕΜΩΝ οἷον λέγεις, Πάταικε. διαφέρει δὲ τί;
how you-say Pataecus it-differs and what
ἐγὼ γαμετὴν νενόμικα ταύτην. ΠΑΤΑΙΚΟΣ μὴ βόα.
I wedded have-considered her not shout
τίς ἐσθ' ὁ δούς;
who is the-one having-given
ΠΟΛΕΜΩΝ ἐμοὶ τίς; αὐτή. ΠΑΤΑΙΚΟΣ πάνυ καλῶς.
to-me who she-herself very well
ἤρεσκες αὐτῇ τυχὸν ἴσως, νῦν δ' οὐκέτι,
you-pleased her perhaps maybe now and no-longer

ἀπελήλυθεν δ' οὐ κατὰ τρόπον σου χρωμένου
she-has-gone-away and not in manner you treating
αὐτῇ. ΠΟΛΕΜΩΝ τί φῄς; οὐ κατὰ τρόπον; τουτί με τῶν
her what say-you not in manner this-here me of-the
πάντων λελύπηκας μάλιστ' εἰπών. ΠΑΤΑΙΚΟΣ ἐρεῖς,
all you-have-grieved most having-said you-will-say
τοῦτ' οἶδ' ἀκριβῶς, ὡς ὃ μὲν νυνὶ ποεῖς
this I-know exactly that what indeed now you-do
ἀπόπληκτόν ἐστι. ποῖ φέρει γάρ, ἢ τίνα
mad is where are-you-going for or whom
ἄξων; ἑαυτῆς ἐστ' ἐκείνη κυρία·
to-lead of-herself is that-one mistress
λοιπὸν τὸ πείθειν τῷ κακῶς διακειμένῳ
left the persuading for-the badly disposed
ἐρῶντί τ' ἐστίν. ΠΟΛΕΜΩΝ ὁ δὲ διεφθαρκὼς ἐμοῦ
loving and is the-one and having-seduced-her me
ἄποντος αὐτὴν οὐκ ἀδικεῖ μ'; ΠΑΤΑΙΚΟΣ ὥστ' ἐγκαλεῖν
being-away her not wrongs me so-as to-accuse
ἀδικεῖ σ' ἐκεῖνος, ἄν ποτ' ἔλθῃς εἰς λόγους·
wrongs you that-one if ever you-come into words
εἰ δ' ἐκβιάσει, δίκην ὀφλήσεις· οὐκ ἔχει
if and you-use-force a-suit you-will-lose not it-has
τιμωρίαν γὰρ τἀδίκημ', ἔγκλημα δέ.
vengeance for the-wrong a-charge and
ΠΟΛΕΜΩΝ οὐδ' ἆρα νῦν—; ΠΑΤΑΙΚΟΣ οὐδ' ἆρα νῦν.
not — now not — now
ΠΟΛΕΜΩΝ οὐκ οἶδ' ὅ τι
not I-know what thing
λέγω, μὰ τὴν Δήμητρα, πλὴν ἀπάγξομαι.
I-say by — Demeter except I-will-hang-myself

Γλυκέρα με καταλέλοιπε, καταλέλοιπέ με
Glycera me has-left has-left me
Γλυκέρα, Πάταικ'. ἀλλ' εἴπερ οὕτω σοι δοκεῖ
Glycera Pataecus but if so to-you it-seems
πράττειν, — συνήθης ἦσθα γὰρ καὶ πολλάκις
to-act intimate you-were for and often
λελάληκας αὐτῇ, — πρότερον ἐλθὼν διαλέγου·
you-have-chatted with-her before having-gone talk
πρέσβευσον, ἱκετεύω σε. ΠΑΤΑΙΚΟΣ τοῦτό μοι δοκεῖ,
be-ambassador I-beg you this to-me it-seems
ὁρᾷς, ποεῖν. ΠΟΛΕΜΩΝ δύνασαι δὲ δήπουθεν λέγειν,
you-see to-do you-can and surely to-speak
Πάταικε; ΠΑΤΑΙΚΟΣ μετρίως.
Pataecus moderately
ΠΟΛΕΜΩΝ ἀλλὰ μήν, Πάταικε, δεῖ.
but truly Pataecus it-is-needful
αὕτη 'στὶν ἡ σωτηρία τοῦ πράγματος.
this is the salvation of-the matter
ἐγὼ γὰρ εἴ τι πώποτ' ἠδίκηχ' ὅλως —
I for if anything ever have-wronged at-all
εἰ μὴ διατελῶ πάντα φιλοτιμούμενος —
if not I-continue all being-ambitious
τὸν κόσμον αὐτῆς εἰ θεωρήσαις — ΠΑΤΑΙΚΟΣ καλῶς
the finery her if you-should-view well
ἔχει. ΠΟΛΕΜΩΝ θεώρησον, Πάταικε, πρὸς θεῶν·
it-is view-it Pataecus by gods
μᾶλλον μ' ἐλεήσεις. ΠΑΤΑΙΚΟΣ ὦ Πόσειδον. ΠΟΛΕΜΩΝ δεῦρ' ἴθι·
more me you-will-pity O Poseidon here come
ἐνδύμαθ' οἷ', οἷα δὲ φαίνεθ' ἡνίκ' ἂν
garments what-kind what-kind and she-appears when —

λάβῃ τι τούτων· οὐ γὰρ ἑοράκεις ἴσως.
she-takes any of-these not for you-had-seen perhaps

ΠΑΤΑΙΚΟΣ ἔγωγε. ΠΟΛΕΜΩΝ καὶ γὰρ τὸ μέγεθος δήπουθεν ἦν
I-at-least and for the size surely was

ἄξιον ἰδεῖν. ἀλλὰ τί φέρω νῦν εἰς μέσον
worthy to-see but why do-I-bring now into the-middle

τὸ μέγεθος, ἐμβρόντητος, ὑπὲρ ἄλλων λαλῶν;
the size thunderstruck about other-things babbling

ΠΑΤΑΙΚΟΣ μὰ τὸν Δί', οὐδέν.
by — Zeus nothing

ΠΟΛΕΜΩΝ οὐ γάρ; ἀλλὰ δεῖ γέ σε
not for but it-is-needful at-least you

ἰδεῖν· βάδιζε δεῦρο. ΠΑΤΑΙΚΟΣ πάραγ'. ΠΟΛΕΜΩΝ εἰσέρχομαι.
to-see walk here come-in I-go-in

V · GLYCERA'S TOKENS

Moschion mocks the soldiers and complains of his wretchedness. Glycera, offended that Pataecus believed she ran to Moschion's bed, asks for the casket with her father's and mother's tokens and sends Doris for it.

ΜΟΣΧΙΩΝ οὐκ εἰσφθερεῖσθε θᾶττον ὑμεῖς ἐκποδών;
not will-you-go-to-ruin-inside quicker you out-of-the-way

λόγχας ἔχοντες ἐκπεπηδήκασί μοι.
spears holding they-have-leapt-out at-me

οὐκ ἂν δύναιντο δ' ἐξελεῖν νεοττιὰν
not — they-could and to-take-out a-nest

χελιδόνων, οἷοι πάρεισ', οἱ βάσκανοι.
of-swallows such-as are-present the slanderers

"ἀλλὰ ξένους," φής, "εἶχον." εἰσὶ δ' οἱ ξένοι
but strangers you-say they-had are and the strangers
οἱ περιβόητοι — Σωσίας εἷς οὑτοσί. —
the much-talked-of Sosias one this-man-here
πολλῶν γεγονότων ἀθλίων κατὰ τὸν χρόνον
many having-become wretched in the time
τὸν νῦν, — φορὰ γὰρ γέγονε τούτου νῦν καλὴ
the present a-crop for has-been of-this now fine
ἐν ἅπασι τοῖς Ἕλλησι δι' ὅ τι δή ποτε —
among all the Greeks for what thing indeed ever
οὐδένα νομίζω τῶν τοσούτων ἄθλιον
no-one I-think of-the so-many wretched
ἄνθρωπον οὕτως ὡς ἐμαυτὸν ζῆν ἐγώ.
man so as myself to-live I
ὡς γὰρ τάχιστ' εἰσῆλθον, οὐδὲν ὧν ἀεὶ
when for quickest I-went-in nothing of-what always
εἴωθ' ἐποίουν, οὐδὲ πρὸς τὴν μητέρα
I-was-wont I-did nor to the mother
εἰσῆλθον, οὐ τῶν ἔνδον ἐκάλεσ' οὐδένα
went-in not of-those inside called anyone
πρὸς ἐμαυτόν, ἀλλ' εἰς οἶκον ἐλθὼν ἐκποδὼν
to myself but into the-house having-gone out-of-the-way
ἐνταῦθα κατεκείμην συνεστηκὼς πάνυ.
there I-lay-down composed very
τὸν Δᾶον εἰσπέμπω δὲ δηλώσονθ' ὅτι
— Davus I-send-in and to-make-clear that
ἥκω, τοσοῦτον αὐτό, πρὸς τὴν μητέρα.
I-have-come so-much just to the mother
οὗτος μὲν οὖν, μικρόν τι φροντίσας ἐμοῦ,
he indeed then little something having-cared-for me

ἄριστον αὐτοῖς καταλαβὼν παρακείμενον,
breakfast for-them having-found set-out
ἐγέμιζεν αὑτόν. ἐν δὲ τούτῳ τῷ χρόνῳ
stuffed himself in and this the time
κατακείμενος πρὸς ἐμαυτὸν ἔλεγον· "αὐτίκα
lying-down to myself I-said presently
425 πρόσεισιν ἡ μήτηρ ἀπαγγελοῦσα μοι
will-come-up the mother to-report to-me
παρὰ τῆς ἐρωμένης ἐφ' οἷς ἄν φησί μοι
from the beloved on what-terms — she-says to-me
εἰς ταὐτὸν ἐλθεῖν." αὐτὸς ἐμελέτων λόγον — ***
into the-same to-come myself I-was-rehearsing a-speech (lacuna)
585 ΓΛΥΚΕΡΑ ἐλθοῦσα πρὸς τὴν μητέρ' αὐτοῦ, φίλτατε,
having-come to the mother his dearest
καὶ δεῦρο καταφυγοῦσ' ἐδυνάμην — οὐ σκοπεῖς; —
and here having-taken-refuge I-could not do-you-see
ἵνα με λάβῃ γυναῖκα — κατ' ἐμὲ γὰρ πάνυ
so-that me he-might-take as-wife on me for very
γέγον' οὐδέν — ἀλλ' οὐ τοῦθ', ἑταίραν δ' ἵνα μ' ἔχῃ·
has-happened nothing but not this a-courtesan and so-that me he-might-have
εἶτ' οὐ λαθεῖν τούτους ἂν ἔσπευδον, τάλαν,
then not to-escape-notice these — I-would-have-hurried wretch
590 αὐτός τ' ἐκεῖνος; ἀλλ' ἰταμῶς εἰς ταὐτό με
himself and that-one but brazenly into the-same me
τῷ πατρὶ κατέστησ', εἱλόμην δ' οὕτως ἐγὼ
with-the father he-set I-chose and so I
ἀφρόνως ἔχειν, ἐχθράν τε πρᾶξιν ἐκτελεῖν
foolishly to-have hateful and a-deed to-accomplish
ὑμῖν θ' ὑπόνοιαν καταλιπεῖν αἰσχρὰν ἐμοῦ
for-you and suspicion to-leave shameful of-me

ἣν ἐξαλείψαιτ᾽ οὐκέτ᾽, οὐδ᾽ αἰσχύνομαι;
which you-could-wipe-out no-longer nor am-I-ashamed

Πάταικε, καὶ σὺ ταῦτα συμπεπεισμένος
Pataecus and you these-things having-been-persuaded

ἦλθες τοιαύτην θ᾽ ὑπέλαβές με γεγονέναι;
came such and supposed me to-have-become

ΠΑΤΑΙΚΟΣ μὴ δὴ γένοιτ᾽, ὦ Ζεῦ πολυτίμητ᾽, ἄδικα δὲ
not indeed may-it-be O Zeus much-honored unjust-things and

δείξαις ἀληθῶς ὄντ᾽· ἐγὼ μὲν πείθομαι.
may-you-show truly being I indeed am-persuaded

ἀλλ᾽ ἄπιθι μηδὲν ἧττον. ΓΛΥΚΕΡΑ εἰς ἄλλας κόρας
but go-away nothing less to other girls

ὑβριζέτω τὸ λοιπόν. ΠΑΤΑΙΚΟΣ οὐχ ὑβριστικῶς
let-him-outrage the future not insolently

γέγονε τὸ δεινόν. ΓΛΥΚΕΡΑ ἀνόσιον δ᾽ ἔπραξέ με.
has-happened the terrible-thing unholy-thing and he-did me

οἷον μάλ᾽ ἂν θεράπαιναν ἐργάσαιτό τις. ***
such-as very — a-maid would-treat one (lacuna)

ΓΛΥΚΕΡΑ ἐγὼ δ᾽ ἐκεῖνα λαμβάνω τὰ χρήματα
I and those take the things

τοὐμοῦ πατρὸς καὶ μητρός, εἴθισμαι δ᾽ ἔχειν
of-my father and mother I-am-accustomed and to-have

ἀεὶ παρ᾽ ἐμαυτῇ ταῦτα καὶ τηρεῖν. ΠΑΤΑΙΚΟΣ τί οὖν
always with myself these-things and to-keep why then

βούλει; ΓΛΥΚΕΡΑ κομίσασθαι ταῦτ᾽. ΠΑΤΑΙΚΟΣ ἀπέγνωκας σὺ γὰρ
do-you-wish to-recover these you-have-given-up you for

κομιδῇ τὸν ἄνθρωπον; τί βούλει, φιλτάτη;
utterly the fellow what do-you-wish dearest

ΓΛΥΚΕΡΑ διὰ σοῦ γενέσθω τοῦτό μοι. ΠΑΤΑΙΚΟΣ πραχθήσεται.
through you let-it-happen this for-me shall-be-done

τοῦτό γε γέλοιον· ἀλλ' ὑπὲρ πάντων ἐχρῆν
this at-least ridiculous but about all-things it-was-needful

ὁρᾶν σ'. ΓΛΥΚΕΡΑ ἐγῷδα τἄμ' ἄρισθ'. ΠΑΤΑΙΚΟΣ οὕτως ἔχεις;
to-see you I-know my-affairs best so you-are

τίς τῶν θεραπαινῶν οἶδε ταῦθ' ὅπου 'στί σοι;
which of-the maids knows these-things where they-are for-you

ΓΛΥΚΕΡΑ ἡ Δωρὶς οἶδε. ΠΑΤΑΙΚΟΣ καλεσάτω τὴν Δωρίδα
— Doris knows let-call — Doris

ἔξω τις. ἀλλ' ὅμως, Γλυκέρα, πρὸς τῶν θεῶν,
outside someone but nevertheless Glycera by the gods

ἕως πάρεστ' ἐφ' οἷς λόγοις νυνὶ λέγω,
while she-is-here on what words now I-say

ΔΩΡΙΣ ∗∗∗ ὦ κεκτημένη.
(lacuna) O mistress

ΜΟΣΧΙΩΝ τάχ' εἴσομ' οἷον τὸ κακόν. ΓΛΥΚΕΡΑ ἐξένεγκέ μοι
quickly I-shall-know what-kind the evil bring-out to-me

τὴν κοιτίδ' ἔξω, Δωρί, τὴν τὰ ποικίλα
the casket outside Doris the-one the embroidered-things

ἔχουσαν — οἶσθα, νὴ Δί', — ἣν δέδωκά σοι
having you-know by Zeus which I-gave to-you

τηρεῖν. τί κλαίεις, ἀθλία; ΠΑΤΑΙΚΟΣ πέπονθά τι,
to-keep why do-you-weep wretched I-have-suffered something

νὴ τὸν Δία τὸν σωτῆρ', ἐγὼ καινὸν πάνυ·
by — Zeus the savior I strange very

ἄελπτον οὖν πρᾶγμ' οὐδέν. ἡ κοιτὶς φανεῖ. ∗∗∗
unexpected then matter nothing the casket will-show (lacuna)

Pataecus recognizes in the casket the embroidered things that were his dead wife's, and learns from Glycera that she is his daughter, exposed with a twin brother after his ruin at sea. Moschion overhears and finds himself her brother.

ΠΑΤΑΙΚΟΣ ὃν καὶ τότ' εἶδον. οὐ παρ' αὐτὸν οὑτοσὶ
whom also then I-saw not beside him this-one-here
τράγος τις, ἢ βοῦς, ἢ τοιουτὶ θηρίον
a-goat some or an-ox or such beast
ἕστηκεν; ΓΛΥΚΕΡΑ ἔλαφος, φίλτατ', ἐστίν, οὐ τράγος.
stands a-stag dearest it-is not a-goat
ΠΑΤΑΙΚΟΣ κέρα τ' ἔχει, τοῦτ' οἶδα. καὶ τουτὶ τρίτον·
horns and it-has this I-know and this-here third
πετεινὸς ἵππος. τῆς γυναικὸς τῆς ἐμῆς
winged a-horse of-the wife the my
τὰ χρήματ' ἐστὶ ταῦτα, καὶ μάλ' ἀθλίας.
the possessions are these and very wretched
ΜΟΣΧΙΩΝ ἓν τῶν ἀδυνάτων ἐστί, τουτί μοι δοκεῖ
one of-the impossible-things is this-here to-me it-seems
σκοποῦντι, τὴν ἐμὴν τεκοῦσαν μητέρα
considering the my having-borne-me mother
αἰσχρῶς προέσθαι θυγατέρ' αὐτῇ γενομένην.
shamefully to-cast-away a-daughter to-her born
εἰ δὲ γεγένηται τοῦτ', ἀδελφὴ δ' ἔστ' ἐμὴ
if and has-happened this sister and is my
αὕτη, κάκιστ' ἔφθαρμ' ὁ δυστυχὴς ἐγώ.
she most-wretchedly I-am-undone the unfortunate I
ΠΑΤΑΙΚΟΣ *** δὴ τἀπίλοιπα τῶν ἐμῶν;
(lacuna) indeed the-rest of-the my-things

ΓΛΥΚΕΡΑ σήμαιν' ὃ βούλει, τοῦτο πυνθάνου τ' ἐμοῦ.
signify what you-wish this ask and me

ΠΑΤΑΙΚΟΣ πόθεν λαβοῦσα ταῦτα κέκτησαι; φράσον.
whence having-got these-things you-have-them tell

ΓΛΥΚΕΡΑ ἐν τοῖσδ' ἀνῃρέθην ποτ' οὖσα παιδίον.
in these I-was-taken-up once being a-baby

ΜΟΣΧΙΩΝ ἐπάναγε σαυτὸν μικρὸν ὡς ῥοθούμενος·
withdraw yourself a-little as swept-by-the-surge

ἥκω τύχης εἰς καιρὸν οἰκείας ἐγώ.
I-have-come of-fortune into the-crisis my-own I

ΠΑΤΑΙΚΟΣ μόνη δ' ἔκεισο; τοῦτο γὰρ σήμαινέ μοι.
alone and were-you-lying this for signify to-me

ΓΛΥΚΕΡΑ οὐ δῆτ', ἀδελφὸν δ' ἐξέθηκε κἀμέ τις.
not then a-brother and exposed and-me someone

ΜΟΣΧΙΩΝ τουτὶ μὲν ἕν μοι τῶν ἐμοὶ ζητουμένων.
this-here indeed one to-me of-the by-me sought-things

ΠΑΤΑΙΚΟΣ πῶς οὖν ἐχωρίσθητ' ἀπ' ἀλλήλων δίχα;
how then were-you-separated from one-another apart

ΓΛΥΚΕΡΑ ἔχοιμ' ἂν εἰπεῖν πάντ' ἀκηκουΐά σοι·
I-could — tell all having-heard to-you

τἀμὰ δ' ἐπερώτα, ῥητὰ γὰρ ταῦτ' ἐστί μοι.
my-things and ask speakable for these are to-me

ἐκεῖνα δ' αὐτῇ μὴ φράσειν ὀμώμοκα.
those and to-her not to-tell I-have-sworn

ΜΟΣΧΙΩΝ καὶ τοῦτό μοι σύσσημον εἴρηκεν σαφές·
and this to-me token she-has-told clear

ὀμώμοκεν τῇ μητρί. ποῦ ποτ' εἰμὶ γῆς;
she-has-sworn to-the mother where ever am-I on-earth

ΠΑΤΑΙΚΟΣ ὁ δὴ λαβών σε καὶ τρέφων τίς ἦν ποτε;
the-one indeed having-taken you and rearing who was ever

ΓΛΥΚΕΡΑ γυνή μ᾽ ἔθρεψ᾽, ἥπερ τότ᾽ εἶδ᾽ ἐκκειμένην.
a-woman me reared who then saw-me exposed

ΠΑΙΔΙΚΟΣ τοῦ δὴ τόπου τί μνημόνευμά σοι λέγει;
of-the indeed place what memorial to-you she-tells

ΓΛΥΚΕΡΑ κρήνην τιν᾽ εἶπε, ναί, τόπον θ᾽ ὑπόσκιον. 675
a-spring some she-said yes a-place and shady

ΠΑΙΔΙΚΟΣ τὸν αὐτὸν ὅνπερ χὠ τιθεὶς εἴρηκέ μοι.
the same that-which and-the placing-one has-told me

ΓΛΥΚΕΡΑ τίς δ᾽ οὗτός ἐστιν; εἰ θέμις κἀμοὶ φράσον.
who and this-one is if lawful to-me-too tell

ΠΑΙΔΙΚΟΣ ὁ μὲν τιθεὶς παῖς, ὁ δὲ τρέφειν ὀκνῶν ἐγώ.
the indeed placing-one a-slave the and to-rear shrinking-from I

ΓΛΥΚΕΡΑ σὺ δ᾽ ἐξέθηκας ὢν πατήρ; τίνος χάριν;
you and exposed-us being father for-what sake

ΠΑΙΔΙΚΟΣ πόλλ᾽ ἐστὶν ἔργ᾽ ἄπιστα, παιδίον, τύχης· 680
many are deeds unbelievable child of-fortune

ἡ μὲν τεκοῦσ᾽ ὑμᾶς γὰρ ἐκλείπει βίον
the indeed having-borne you for leaves life

εὐθύς, μιᾷ δ᾽ ἔμπροσθεν ἡμέρᾳ, τέκνον —
at-once one and before day child

ΓΛΥΚΕΡΑ τί γίνεταί ποθ᾽; ὡς τρέμω, τάλαιν᾽ ἐγώ.
what is-happening ever how I-tremble wretched I

ΠΑΙΔΙΚΟΣ πένης ἐγενόμην, βίον ἔχειν εἰθισμένος.
poor I-became a-livelihood to-have accustomed

ΓΛΥΚΕΡΑ ἐν ἡμέρᾳ; πῶς; ὦ θεοί, δεινοῦ πότμου. 685
in a-day how O gods of-dreadful fate

ΠΑΙΔΙΚΟΣ ἤκουσα τὴν ναῦν ἣ παρεῖχ᾽ ἡμῖν τροφὴν
I-heard the ship which provided us sustenance

ἄγριον καλύψαι πέλαγος Αἰγαίας ἁλός.
savage to-have-covered the-sea of-the-Aegean brine

ΓΛΥΚΕΡΑ τάλαιν' ἔγωγε τῆς τύχης. ΠΑΤΑΙΚΟΣ ἐφόλκια
wretched I-at-least of-the fortune burdens
ἡγησάμην δὴ πτωχὸν ὄντα παιδία
I-thought indeed a-beggar being children
τρέφειν ἀβούλου παντελῶς ἀνδρὸς τρόπον.
to-rear of-a-thoughtless wholly man way
ἥδιστα μέντοι κτημάτων πάντων τέκνα.
sweetest however of-possessions all children
τὸ ποῖον ἔτι λέλοιπε; ΓΛΥΚΕΡΑ μηνυθήσεται·
the what-sort still is-left will-be-revealed
ἦν καὶ δέραια καὶ βραχύς τις ἀνάγλυφος
there-was both necklaces and small some embossed
κόσμος προσὼν γνώρισμα τοῖς ἐκκειμένοις.
ornament being-with a-token for-the exposed
ΠΑΤΑΙΚΟΣ ἐκεῖνον ἀναθεώμεθ'. ΓΛΥΚΕΡΑ ἀλλ' οὐκ ἔστ' ἔτι.
that let-us-review but not it-is any-longer
ΠΑΤΑΙΚΟΣ τί φῄς; ΓΛΥΚΕΡΑ *** δηλαδή.
what say-you (lacuna) plainly
ΜΟΣΧΙΩΝ ἀλλ' ἐστὶν οὗτος, ὡς ἔοιχ', οὑμὸς πατήρ.
but is this-one as it-seems the-my father
ΠΑΤΑΙΚΟΣ ἔχοις ἂν εἰπεῖν *** ζώνη τις ἦν;
could-you — tell (lacuna) a-girdle some was
ΓΛΥΚΕΡΑ ἦν γάρ· χορός τε παρθένων ἐνταῦθά τις —
was for a-dance and of-maidens there some
ΜΟΣΧΙΩΝ οὐκοῦν συνῆκας; ΓΛΥΚΕΡΑ διαφανές τε χλανίδιον
then you-understood transparent and a-little-cloak
χρυσῆ τε μίτρα πάντα καθ' ἓν εἰρημένα.
golden and a-snood all by one told

ΠΑΤΑΙΚΟΣ οὐκέτι καθέξω, φιλτάτη, σ'.
no-longer will-I-hold-back dearest you
ΜΟΣΧΙΩΝ ἀμέλει δ' ἐγὼ ***
never-fear and I (lacuna)
πάρειμι, τοῦτον γ' *** ἐγώ.
I-am-here this-one at-least (lacuna) I
ΓΛΥΚΕΡΑ ὦ θεοί, τίς ἐστιν οὗτος; (ΜΟΣΧΙΩΝ) ὅστ *** μοι *** 705
O gods who is this-one who (lacuna) to-me (lacuna)

VII · THE RECONCILIATION

Polemon, desperate, learns from Doris that Glycera has found her father; he offers sacrifice in thanks. Pataecus gives Glycera to Polemon in marriage with a dowry of three talents, on condition that he never act rashly again; Glycera forgives him, and Pataecus announces Moschion's marriage to Philinus' daughter.

ΠΟΛΕΜΩΝ *** ἵν' ἐμαυτὸν ἀποπνίξαιμι.
(lacuna) so-that myself I-might-strangle
ΔΩΡΙΣ μὴ δὴ τοῦτό γε.
not indeed this at-least
ΠΟΛΕΜΩΝ ἀλλὰ τί ποιήσω, Δωρί; πῶς βιώσομαι,
but what shall-I-do Doris how shall-I-live
ὁ τρισκακοδαίμων, χωρὶς ὢν αὐτῆς; ΔΩΡΙΣ πάλιν
the thrice-wretched apart being from-her again
ἄπεισιν ὡς σέ — ΠΟΛΕΜΩΝ πρὸς θεῶν, οἷον λέγεις. 860
she-will-go-away to you by gods what you-say
ΔΩΡΙΣ ἐὰν προθυμηθῇς ἀκάκως τοὐνθένδ' ἔχειν.
if you-are-eager guilelessly from-now-on to-behave

ΠΟΛΕΜΩΝ οὐκ ἐνλίποιμ᾽ ἂν οὐθέν, εὖ τοῦτ᾽, ὦ φίλη,
not I-would-fall-short — in-anything well this O dear
ὑπέρευ λέγεις. βάδιζ᾽· ἐγώ σ᾽ ἐλευθέραν
excellently you-speak go I you free
αὔριον ἀφήσω, Δωρί, ἀλλ᾽ ὃ δεῖ λέγειν
tomorrow will-set Doris but what one-must say
865 ἄκουσον. εἰσελήλυθ᾽. οἴμοι, μάργ᾽ Ἔρως,
hear she-has-gone-in ah-me raging Love
ὡς κατὰ κράτος μ᾽ εἴληφας. ἐφίλησεν τότε
how by force me you-have-seized she-kissed then
ἀδελφόν, οὐχὶ μοιχόν, ὁ δ᾽ ἀλάστωρ ἐγὼ
a-brother not an-adulterer the and wretch I
καὶ ζηλότυπος ἄνθρωπος, ἀνακρῖναι δέον,
and jealous the-fellow to-question it-being-needful
εὐθὺς ἐπαρῴνουν. τοιγαροῦν ἀπάγξομαι,
at-once I-behaved-like-a-drunkard therefore I-will-hang-myself
870 καλῶς ποῶν. τί ἐστι, Δωρὶ φιλτάτη;
well doing what is-it Doris dearest
ΔΩΡΙΣ ἀγαθά· πορεύσέθ᾽ ὡς σέ· ΠΟΛΕΜΩΝ κατεγέλα δ᾽ ἐμοῦ.
good-things she-will-come to you she-was-laughing and at-me
ΔΩΡΙΣ μὰ τὴν Ἀφροδίτην, ἀλλ᾽ ἐνεδύετο στολήν,
by — Aphrodite but she-was-putting-on a-dress
ὁ πατὴρ ἐπεξήταζ᾽. ἐχρῆν σε νῦν τελεῖν
the father was-inspecting it-was-needful you now to-offer
εὐαγγέλια τῶν γεγονότων· ἀσεβὲς πάνυ
thank-offerings for-the having-happened-things impious very
875 στένειν ἐκείνης εὐτυχηκυίας τόδε.
to-groan that-one having-been-fortunate this

ΠΟΛΕΜΩΝ νὴ τὸν Δί᾽, ὀρθῶς γὰρ λέγεις ὃ δεῖ ποεῖν.
by — Zeus rightly for you-say what one-must do

ὁ μάγειρος ἔνδον ἐστί· τὴν ὗν θυέτω.
the cook inside is the sow let-him-sacrifice

ΔΩΡΙΣ κανοῦν δὲ ποῦ, καὶ τἄλλ᾽ ἃ δεῖ;
basket and where and the-rest which are-needful

ΠΟΛΕΜΩΝ κανοῦν μὲν οὖν
the-basket indeed rather

ὕστερον ἐνάρξετ᾽, ἀλλὰ ταύτην σφαττέτω.
later will-begin but her let-him-slaughter

μᾶλλον δὲ κἀγὼ στέφανον ἀπὸ βωμοῦ ποθεν 880
rather and I-too a-garland from an-altar somewhere

ἀφελὼν ἐπιθέσθαι βούλομαι. ΔΩΡΙΣ πιθανώτερος
having-taken to-put-on wish more-persuasive

πολλῷ φανεῖ γοῦν. ΠΟΛΕΜΩΝ ἄγετε νῦν Γλυκέραν ταχύ.
much you-will-appear at-least bring now Glycera quickly

ΔΩΡΙΣ καὶ μὴν ἔμελλεν ἐξιέναι δὴ χὠ πατήρ.
and truly was-about to-come-out indeed and-the father

ΠΟΛΕΜΩΝ αὐτός; τί γὰρ πάθῃ τις; ΔΩΡΙΣ ὦ τᾶν, ἀποδραμεῖ;
himself what for is-to-do one O my-friend will-you-run-off

ἔφυγεν. κακὸν τοσοῦτον ἦν θύραν ψοφεῖν; 885
he-fled evil so-great was a-door to-rattle

εἴσειμι καὐτὴ συμποιήσουσ᾽, εἴ τι δεῖ.
I-will-go-in and-myself to-help-do if anything is-needful

ΠΑΤΑΙΚΟΣ πάνυ σου φιλῶ τὸ "συνδιαλλαχθήσομαι."
very of-you I-like the I-will-be-reconciled

ὅτ᾽ εὐτύχηκας, τότε δέχεσθαι τὴν δίκην,
when you-have-been-fortunate then to-accept the satisfaction

τεκμήριον τοῦτ᾽ ἐστὶν Ἕλληνος τρόπου.
a-proof this is of-a-Greek character

ἀλλ᾽ ἐκκαλείτω τις δραμὼν — αὐτὸν δ᾽ ὁρῶ.
but let-call-out someone running him and I-see

ΠΟΛΕΜΩΝ ἐξέρχομ᾽· ἀλλ᾽ ἔθυον ὑπὲρ εὐπραξίας,
I-come-out but I-was-sacrificing for good-fortune

Γλυκέραν ὕπαρ εὑρηκυῖαν οὓς ἐβούλετο
Glycera in-reality having-found whom she-wished

πυθόμενος. ΠΑΤΑΙΚΟΣ ὀρθῶς γὰρ λέγεις, ἃ δ᾽ οὖν ἐγὼ
having-learned rightly for you-say what and then I

μέλλω λέγειν ἄκουε· ταύτην γνησίων
am-about to-say hear her of-legitimate

παίδων ἐπ᾽ ἀρότῳ σοι δίδωμι. ΠΟΛΕΜΩΝ λαμβάνω.
children for the-sowing to-you I-give I-take

ΠΑΤΑΙΚΟΣ καὶ προῖκα τρία τάλαντα. ΠΟΛΕΜΩΝ καὶ καλῶς τόδε.
and dowry three talents and well this

ΠΑΤΑΙΚΟΣ τὸ λοιπὸν ἐπιλαθοῦ στρατιώτης ὤν, ὅπως
the future forget soldier being so-that

προπετὲς ποήσῃς μηδὲ ἕν ποθ᾽ ὕστερον.
rash you-may-do not-even one-thing ever after

ΠΟΛΕΜΩΝ Ἄπολλον· ὃς καὶ νῦν ἀπόλωλα παρ᾽ ὀλίγον.
Apollo who also now am-ruined by little

πάλιν τι πράξω προπετές; οὐδὲ μὴν ὄναρ,
again anything shall-I-do rash not-even truly in-a-dream

Γλυκέρα· διαλλάγηθι, φιλτάτη, μόνον.
Glycera be-reconciled dearest only

ΓΛΥΚΕΡΑ νῦν μὲν γὰρ ἡμῖν γέγονεν ἀρχὴ πραγμάτων
now indeed for for-us has-become a-beginning of-things

ἀγαθῶν τὸ σὸν πάροινον. ΠΟΛΕΜΩΝ ὀρθῶς, νὴ Δία.
good the your drunken-violence rightly by Zeus

ΓΛΥΚΕΡΑ διὰ τοῦτο συγγνώμης τετύχηκας ἐξ ἐμοῦ.
for this of-pardon you-have-obtained from me

ΠΟΛΕΜΩΝ σύνθυε δή, Πάταιχ'. ΠΑΤΑΙΚΟΣ ἑτέρους ζητητέον 905
sacrifice-with-us now Pataecus other to-be-sought

ἐστὶν γάμους μοι· τῷ γὰρ υἱῷ λαμβάνω
there-is weddings for-me for-the for son I-take

τὴν τοῦ Φιλίνου θυγατέρ'. ΜΟΣΧΙΩΝ ὦ Γῆ καὶ θεοί. ***
the — of-Philinus daughter O Earth and gods (lacuna)

MENANDER

ΗΡΩΣ

The Hero

DAVUS IN LOVE

The slave Getas finds his fellow slave Davus brooding and learns that he loves Plangon, a girl reared beside him. Davus tells how her father Tibeius, a shepherd, borrowed from Davus' master and died, and how her twin brother Gorgias works off the debt. His master has promised to give her to him once he has spoken with her brother, but the master is away on Lemnos for three months, and Davus prays for his safe return.

ΓΕΤΑΣ Κακόν τι, Δᾶέ, μοι δοκεῖς πεποιηκέναι
Evil some Davus to-me you-seem to-have-done
παμμέγεθες, εἶτα προσδοκῶν ἀγωνιᾷς
enormous then expecting you-are-in-agony
μυλῶνα σαυτῷ καὶ πέδας· εὔδηλος εἶ.
the-mill for-yourself and fetters plain you-are
τί γὰρ σὺ κόπτεις τὴν κεφαλὴν οὕτω πυκνά;
why for you beat the head so often
τί τὰς τρίχας τίλλεις ἐπιστάς; τί στένεις; 5
why the hair do-you-tear standing-still why do-you-groan
ΔΑΟΣ οἴμοι. ΓΕΤΑΣ τοιοῦτόν ἐστιν, ὦ πονηρὲ σύ.
ah-me such it-is O wretch you
εἶτ' οὐκ ἐχρῆν, κερμάτιον εἰ συνηγμένον
then not was-it-needful a-little-coin if gathered
σοι τυγχάνει τι, τοῦτ' ἐμοὶ δοῦναι τέως,
you happens any this to-me to-give meanwhile
ἵν' ἀπολάβῃς τὰ κατὰ σεαυτὸν πράγματα
so-that you-may-recover the about yourself affairs
ὅταν καλῶς θῇς; ὡς συνάχθομαί γέ σοι. 10
when well you-set how I-am-distressed at-least for-you

πασχόντι παμπόνηρα. ΔΑΟΣ σὺ μὲν οὐκ οἶδ' ὅ τι
suffering most-wicked-things you indeed not I-know what thing
ληρεῖς· κακῷ γὰρ ἐμπέπλεγμαι πράγματι.
you-babble evil for I-am-entangled-in matter
ἀλλοῖόν ἐστ'· ἔγωγε δ' ἔφθαρμαι, Γέτα.
of-another-kind it-is I-at-least and am-ruined Getas
ΓΕΤΑΣ πῶς γάρ, κατάρατε; ΔΑΟΣ μὴ καταρῶ, πρὸς τῶν θεῶν,
how for accursed-one not curse-me by the gods
βέλτιστ', ἐρῶντι. ΓΕΤΑΣ τί σὺ λέγεις; ἐρᾷς; ΔΑΟΣ ἐρῶ.
best for-one-in-love what you say you-love I-love
ΓΕΤΑΣ πλέον δυοῖν σοι χοινίκων ὁ δεσπότης
more than-two for-you quarts the master
παρέχει. πονηρόν, Δᾶ'. ὑπερδειπνεῖς ἴσως.
provides wicked Davus you-overeat perhaps
ΔΑΟΣ πέπονθα τὴν ψυχήν τι παιδίσκην ὁρῶν
I-have-suffered the soul somewhat a-girl seeing
συντρεφομένην, ἄκακον, κατ' ἐμαυτόν, ὦ Γέτα.
being-reared-with-me innocent like myself O Getas
ΓΕΤΑΣ δούλη 'στίν; ΔΑΟΣ οὕτως ἡσυχῇ, τρόπον τινά.
a-slave is-she so quietly in-a-way some
ποιμὴν γὰρ ἦν Τίβειος οἰκῶν ἐνθαδὶ
a-shepherd for was Tibeius living here
Πτελέασι, γεγονὼς οἰκέτης νέος ὤν ποτε.
at-Pteleae born a-household-slave young being once
ἐγένετο τούτῳ δίδυμα ταῦτα παιδία,
were-born to-him twin these children
ὡς ἔλεγεν αὐτός, ἥ τε Πλαγγών, ἧς ἐρῶ, —
as said he-himself — and Plangon whom I-love
ΓΕΤΑΣ νῦν μανθάνω. ΔΑΟΣ τὸ μειράκιόν θ', ὁ Γοργίας.
now I-understand the young-man and — Gorgias

ΓΕΤΑΣ ὁ τῶν προβατίων ἐνθάδ᾽ ἐπιμελούμενος
the-one of-the sheep here caring-for
νυνὶ παρ᾽ ἡμῖν; ΔΑΟΣ οὗτος. ὧν ἤδη γέρων
now with us this-one of-whom already old
ὁ Τίβειος ὁ πατὴρ εἰς τροφήν γε λαμβάνει
— Tibeius the father for upkeep at-least takes
τούτοις παρὰ τοῦ ᾽μοῦ δεσπότου μνᾶν, καὶ πάλιν —
for-these from the my master a-mina and again
λιμὸς γὰρ ἦν — μνᾶν, εἶτ᾽ ἀπέσκλη. ΓΕΤΑΣ τὴν τρίτην
famine for was a-mina then he-dried-up the third
ὡς οὐκ ἀπεδίδου τυχὸν ὁ δεσπότης ὁ σός;
as not did-repay perhaps the master the your
ΔΑΟΣ ἴσως. τελευτήσαντα δ᾽ αὐτόν, προσλαβὼν
perhaps having-died and him having-added
ὁ Γοργίας τι κερμάτιον, ἔθαψε καὶ
— Gorgias some small-coin buried and
τὰ νόμιμα ποιήσας πρὸς ἡμᾶς ἐνθάδε
the customary-things having-done to us here
ἐλθὼν ἀγαγών τε τὴν ἀδελφὴν ἐπιμένει
having-come having-brought and the sister remains
τὸ χρέος ἀπεργαζόμενος. ΓΕΤΑΣ ἡ Πλαγγὼν δὲ τί;
the debt working-off — Plangon and what

ΔΑΟΣ μετὰ τῆς ἐμῆς κεκτημένης ἐργάζεται
with the my mistress works
ἔρια διακονεῖ τε. ΓΕΤΑΣ παιδίσκη; ΔΑΟΣ πάνυ —
wool serves and a-girl very
Γέτα, καταγελᾷς; ΓΕΤΑΣ μὰ τὸν Ἀπόλλω. ΔΑΟΣ πάνυ, Γέτα,
Getas do-you-mock by — Apollo very Getas
ἐλευθέριος καὶ κοσμία. ΓΕΤΑΣ τί οὖν σύ; τί
ladylike and modest what then you what
πράττεις ὑπὲρ σαυτοῦ; ΔΑΟΣ λάθρᾳ μέν, Ἡράκλεις,
are-you-doing for yourself secretly indeed Heracles
οὐδ' ἐγκεχείρηκ', ἀλλὰ τῷ 'μῷ δεσπότῃ
not-even I-have-tried but to-the my master
εἴρηχ', ὑπέσχηταί τ' ἐμοὶ συνοικιεῖν
I-have-told he-has-promised and to-me to-wed
αὐτήν, διαλεχθεὶς πρὸς τὸν ἀδελφόν. ΓΕΤΑΣ λαμπρὸς εἶ.
her having-talked to the brother splendid you-are
ΔΑΟΣ τί λαμπρός; ἀποδημεῖ τρίμηνον ἐπί τινα
how splendid he-is-abroad three-months on some
πρᾶξιν ἰδίαν εἰς Λῆμνον. ἐλπίδος δὲ νῦν
business private to Lemnos hope and now
ἐχόμεθα τῆς αὐτῆς· ἐκεῖθεν, εὔχομαι,
we-cling the same from-there I-pray
σῴζοιτο. ΓΕΤΑΣ χρηστὸς οὑτοσί· θυσιῶν τάχ' ἂν
may-he-be-saved good this-man-here of-sacrifices perhaps —
ὄνησις εἴη. ΔΑΟΣ πολὺ πρεπόντως καὶ καλῶς
profit might-be much fittingly and well
φρονεῖς. ἐγὼ γὰρ καιριώτατος σφόδρ' ἂν
you-think I for most-timely very —
θύσαιμ'· ἀνόητόν ἐστιν ἀμελεῖν τῶν θεῶν —
would-sacrifice foolish it-is to-neglect the gods

ὦ ξυλοφόρ᾽, ὡς ἐμὲ δεῦρο φέρε πλῆθος ξύλων. ***
O wood-bearer to me here bring a-load of-logs (lacuna)

ΔΑΟΣ *** οὐπώποτ᾽ ἠράσθης, Γέτα;
(lacuna) never were-you-in-love Getas

ΓΕΤΑΣ οὐ γὰρ ἐνεπλήσθην *** 55
not for I-was-sated (lacuna)

LACHES AND MYRRHINE

In a broken scene from later in the play, Laches presses his wife Myrrhine about a mother. She names the Thracian woman; he answers that it is she herself, and she cries out in sweat and perplexity. After a gap she stands like a statue and laments misfortunes past belief. He asks whether someone once wronged her by force, and she assents. Athena Alea is named among the gaps, and Myrrhine says that it is eighteen years. The papyrus fails as he asks how the man escaped her notice.

*** σοι *** τοῦτο ***
(lacuna) to-you (lacuna) this (lacuna)

ΛΑΧΗΣ Ὦ Ἡράκλεις, ἔα μ᾽ ἀμάρτυρον λέγειν
O Heracles let me unwitnessed to-speak

*** δίδωμι νύμφῃ *** 5
(lacuna) I-give to-the-bride (lacuna)

*** τῆς *** πολλῆς ***
(lacuna) of-the (lacuna) of-much (lacuna)

τούτῳ *** τὴν μητέρα
to-this-one (lacuna) the mother

μᾶλλον διηγοῦ τίς πότ᾽ ἐστι. ΜΥΡΡΙΝΗ φασὶ μὲν
rather relate who ever she-is they-say indeed

τὴν Θρᾷτταν. ΛΑΧΗΣ ἀλλ᾽ οὐκ ἔστι. ΜΥΡΡΙΝΗ τίς δ᾽ ἐστίν ποτε.
the Thracian-woman but not it-is who and is-it ever

ΛΑΧΗΣ σύ, τάλαινα. ΜΥΡΡΙΝΗ τί;
you wretched-woman what

ΛΑΧΗΣ φανερῶς γε νὴ Δί', ὦ γύναι.
plainly at-least by Zeus O woman

ἐς κόρακας, ἐξέστηκας; ΜΥΡΡΙΝΗ οἷα γὰρ λέγεις.
to the-crows are-you-out-of-your-mind what-things for you-say

ΛΑΧΗΣ ἃ καὶ ποήσω, καὶ δέδοκταί μοι πάλαι.
what-things also I-shall-do and it-has-been-resolved by-me long-since

ΜΥΡΡΙΝΗ ἱδρώς, ἀπορία. ΛΑΧΗΣ νὴ Δί' εὖ γ', ὦ Μυρρίνη,
sweat perplexity by Zeus well at-least O Myrrhine

ἐπ' ἐμαυτὸν ἔλαβον ποιμέν', ὃς βληχώμενον — ***
upon myself I-took a-shepherd who bleating (lacuna)

ΛΑΧΗΣ τί πέπονθας; ὡς γὰρ ἀνδριὰς παρίστασαι.
what have-you-suffered as for a-statue you-stand-by

ΜΥΡΡΙΝΗ ὡς οἰκτρόν, ἥ τοιαῦτα δυστυχῶ μόνη,
how pitiable (I)-who in-such-things am-unfortunate alone

ἃ μηδὲ πιθανὰς τὰς ὑπερβολὰς ἔχει.
which not-even credible the exaggerations have

ΛΑΧΗΣ ἰάσεται μὲν τὸ πάθος ἡ γνώμη σφόδρα·
will-heal indeed the suffering the resolve exceedingly

ἀλλ' ἠδίκηκεν ἐκ βίας σέ τίς ποτε;
but has-wronged by force you someone ever

ΜΥΡΡΙΝΗ ναιχὶ ΛΑΧΗΣ *** ὑπονοεῖς ὅσπερ ποτ' ἦν; ***
yes (lacuna) do-you-suspect who ever he-was (lacuna)

ἠσχύνεθ' οὕτως ***
she-was-shamed so (lacuna)

Ἀλέας Ἀθανᾶς ***
of-Alea Athena (lacuna)

*** γε σύ ***
(lacuna) at-least you (lacuna)

∗∗∗ πρῶτον λέγε. 35

(lacuna) first say

ΜΥΡΡΙΝΗ ἔτη ’στὶν ὀκτὼ καὶ δέκ’. ΛΑΧΗΣ οὐκ ἔστιν μόνη

years it-is eight and ten not she-is alone

∗∗∗ ἔστω δὲ τοῦτ’, εἰ συνδοκεῖ.

(lacuna) let-be and this if it-seems-good-too

ΜΥΡΡΙΝΗ ∗∗∗ τὸ πρᾶγμα γίνεται ΛΑΧΗΣ πῶς λανθάνει

(lacuna) the matter happens how escapes-notice

∗∗∗ πεσών σε; πῶς δ’ ἀπόλωλε; πηνίκα — ∗∗∗

(lacuna) having-fallen you how and has-it-perished when (lacuna)